
3 1761 07969428 7

Thomas Jessop

ΣΟΦΟΚΛΕΟΥΣ

ΑΙ ΕΠΤΑ ΤΡΑΓΩΔΙΑΙ.

SOPHOCLIS

TRAGŒDIÆ SEPTEM.

CUM

ANIMADVERSIONIBUS

SAMUELIS MUSGRAVII, M.D.

ACCEDUNT,

PRÆTER VARIANTES LECTT. EDITIONUM OPTIMARUM,

SOPHOCLIS FRAGMENTA

EX EDITIONE BRUNCKIANA.

NECNON

INDEX VERBORUM.

TOMUS II.

OXONII,

E TYPOGRAPHEO CLARENDONIANO.

MDCCCIX.

ΣΟΦΟΚΛΕΟΥΣ

ΤΡΑΧΙΝΙΑΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΗΙΑΝΕΙΡΑ.

ΘΕΡΑΠΑΙΝΑ.

ΥΛΛΟΣ.

ΧΟΡΟΣ, *γυναικῶν Τραχινίων.*

ΑΓΓΕΛΟΣ.

ΛΙΧΑΣ.

ΤΡΟΦΟΣ.

ΠΡΕΣΒΥΣ.

ΗΡΑΚΛΗΣ.

Προλογίζει δὲ ἡ Δηϊάνειρα.

ΤΡΑΧΙΝΙΩΝ ΥΠΟΘΕΣΙΣ

ΕΚ

ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ.

ΗΡΑΚΛΗΣ παραγενόμενος εἰς Καλυδῶνα, τὴν Οἰνέως θυγατέρα Δηϊάνειραν ἐμνηστεύσατο· καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς τὸν Ἀχελῷον ἀπεικασθέντα ταύρῳ, περιέκλασε τὸ ἀριστερὸν τῶν κεράτων αὐτοῦ. Καὶ τὴν μὲν Δηϊάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου· τοῦτο δὲ (ὡς Φερεκύδης φησὶ) δύναμιν εἶχε τοιαύτην, ὥστε βρωτὸν ἢ ποτὸν, ὅπερ ἂν εὔξαιτό τις, παρέχειν ἄφθονόν τε καὶ ἄπονον. Στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτούς· καὶ πόλιν ἑλὼν Ἔφυραν, ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν, πατὴρ Τληπολέμου γίνεται. Γενομένων δὲ τούτων, εὐωχούμενος παρὰ Οἰνεῖ, κονδύλῳ παίσας ἀνεῖλεν Εὔνομον, τὸν Ἀρχιτέλους παῖδα, κατὰ χειρῶν διδόντα· συγγενὴς δὲ οὗτος ἦν Οἰνέως· ἀλλ' ὁ μὲν πατὴρ τοῦ παιδὸς, ἀκουσίου γενομένου τοῦ συμβεβηκότος, συνεγνωμόνει· Ἡρακλῆς δὲ κατὰ τὸν νόμον φυγὴν ὑπομένειν ἤθελε, καὶ διέγνω πρὸς Κήϋκα εἰς Τραχῖνα ἀπιέναι· ἄγων δὲ Δηϊάνειραν, ἐπὶ ποταμὸν Εὔηνον ἦλθεν· ἐν ᾧ καθεζόμενος Νέσσος ὁ κένταυρος, τοὺς παριόντας διεπόρθμευε, μισθὸν λέγων παρὰ θεῶν ταύτην τὴν πορείαν εἰληφέναι διὰ τὸ δίκαιος εἶναι. Καὶ αὐτὸς μὲν ὁ Ἡρακλῆς τὸν ποταμὸν διέβη· Δηϊάνειραν δὲ, μισθὸν αἰτηθεὶς, ἐπέτρεψε Νέσσῳ διακομίζειν· ὁ δὲ, διαπορθμεύων αὐτὴν, ἐπεχείρει βιάζεσθαι· τῆς δὲ ἀνακραζούσης αἰσθόμενος Ἡρακλῆς, ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν· ὁ δὲ μέλλων τελευτᾷν, προσκαλεσάμενος Δηϊάνειραν, εἶπε τηρεῖν λαβοῦσαν ἐν κόχλῳ, εἰ θέλοι φίλτρον πρὸς Ἡρακλέα ἔχειν· τόν τε ἰὸν ἀφῆκε κατὰ τῆς κόχλου, καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξας, δέδωκεν· ἡ δὲ, λαβοῦσα ἐφύλαττε παρ' ἑαυτῇ. Διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, καὶ τροφῆς ἀπορῶν, ὑπαντήσαντος Θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων σφάξας εὐωχήσατο· ὡς δὲ ἧκεν εἰς Τραχῖνα πρὸς Κήϋκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ, Δρύοπας κατεπολέμησεν. Αὖθις ἐκεῖθεν ὁρμηθεὶς, Αἰγιμίῳ βασιλεῖ Δωριέων συνεμάχησε. Λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν, Κορώνου στρατηγοῦντος· ὁ δὲ πολιορκούμενος ἐπεκαλέσατο Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. Βοηθήσας δὲ ὁ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ καὶ ἄλλων, καὶ τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν· ἀπέκτεινε δὲ καὶ Ἀλλαγόραν μετὰ τῶν τέκνων αὐτοῦ, βασιλέα Δρυόπων, ἐν Ἀπόλ-

λωιος τεμένει δαινύμενον, ὑβριςὴν ὄντα κ̀ Λαπιθῶν σύμμαχον. Παριόντα δὲ Ἴτωνα, εἰς μονομαχίαν προκαλεῖται αὐτὸν Κύκνος, ὁ Ἄρεος κ̀ Πελοπίας· συςὰς δὲ, κ̀ τῦτον ἀπέκτεινεν. Ὡς δὲ εἰς Ὀρχομενὸν [l. Ὀρμένιον] ἧκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς μεθ' ὅπλων ὐκ εἴασε διέρχεσθαι· κωλυόμενος δὲ παρελθεῖν, κ̀ τῦτον ἀπέκτεινεν. Ἀφικόμενος δὲ εἰς Τραχῖνα, ςρατείαν ἐπ' Οἰχαλίαν συνήθροισεν, Εὔρυτον τιμωρήσασθαι θέλων. Συμμαχούντων δ' Ἀρκάδων αὐτῷ, κ̀ Μηλιέων τῶν ἐκ Τραχῖνος, κ̀ Λοκρῶν τῶν Ἐπικνημιδίων, κλείνας μετὰ τῶν παίδων Εὔρυτον, αἱρεῖ τὴν πόλιν· κ̀ θάψας τῶν σὺν αὐτῷ ςρατευσαμένων τὺς ἀποθανόντας, Ἵππασόν τε τὸν Κήϋκος, κ̀ Ἀργεῖον κ̀ Μέλανα, τὺς Λικυμνίυ παῖδας, κ̀ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην αἰχμάλωτον. Καὶ προσορμισθεὶς Κηναιῷ τῆς Εὐβοίας ἀκρωτηρίῳ, Διὸς Κηναίυ ἱερὸν ἱδρύσατο· μέλλων δὲ ἱερυργεῖν, εἰς Τραχῖνα τὸν Λίχαν ἔπεμψε, λαμπρὰν ἐσθῆτα οἴσοντα· παρὰ δὲ τύτυ τὰ περὶ τὴν Ἰόλην Δηϊάνειρα πυθομένη, κ̀ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ, νομίσασα τῇ ἀληθείᾳ φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσυ, τούτῳ τὸν χιτῶνα ἔχρισεν. Ἐνδὺς δὲ Ἡρακλῆς ἔθυεν· ὡς δὲ, θερμανθέντος τῦ χιτῶνος, ὁ τῆς Ὕδρας ἰὸς τὸν χρῶτα ἔσηπε, τὸν μὲν Λίχαν τῶν ποδῶν ἀράμενος, κατηκόντισεν ἀπὸ τῆς Βοιωτίας· τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι· συναπεσπῶντο δὲ κ̀ αἱ σάρκες αὐτῷ. Τοιαύτῃ δὲ συμφορᾷ κατασχεθεὶς εἰς Τραχῖνα ἐπὶ νεὼς κομίζεται. Δηϊάνειρα δὲ αἰσθομένη τὸ γεγονὸς, ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς αὐτῷ ἐκ Δηϊανείρας ἦν παῖς πρεσβύτερος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι, παραγενόμενος εἰς Οἴτην, ὅ ἐςιν ὄρος Τραχῖνος, ἐκεῖ πυρὰν ποιήσας, ἐκέλευσεν ἐπιβὰς ὑφάπτειν· μηδενὸς δὲ τῦτο πράττειν ἐθέλοντος, Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων, ὑφάψας, ἔλαβε τὰ τόξα παρ' αὐτοῦ δωρεάν. Καιομένης δὲ τῆς πυρᾶς λέγεται νέφος ὑποςὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι· ἔνθα τυχὼν ἀθανασίας, κ̀ διαλλαγεὶς Ἥρᾳ, τὴν ἐκείνης θυγατέρα Ἥβην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖδες Ἀλεξιάρης κ̀ Ἀνίκητος ἐγένοντο.

ΔΗΙΑΝΕΙΡΑ, ΘΕΡΑΠΑΙΝΑ, ΥΛΛΟΣ.

Ἴαμβοι.

Δη. ΛΟΓΟΣ μέν ἐστ᾽ ἀρχαῖος ἀνθρώπων φανεὶς,
" Ὡς οὐκ ἂν αἰῶν᾽ ἐκμάθοι βροτῶν πρὶν ἂν
" Θάνοι τις, οὔτ᾽ εἰ χρηστὸς, οὔτ᾽ εἴ τῳ κακός·
Ἐγὼ δὲ τὸν ἐμὸν, καὶ πρὶν εἰς ᾅδου μολεῖν,
Ἔξοιδ᾽ ἔχουσα δυστυχῆ τε καὶ βαρύν.
Ἥτις πατρὸς μὲν ἐν δόμοισιν Οἰνέως
Ναίουσ᾽ ἐνὶ Πλευρῶνι, νυμφείων ὄκνον
Ἄλγιστον ἔσχον, εἴτις Αἰτωλὶς γυνή.
Μνηστὴρ γὰρ ἦν μοι ποταμὸς, (Ἀχελῷον λέγω)
Ὅς μ᾽ ἐν τρισὶν μορφαῖσιν ἐξῄτει πατρὸς,
Φοιτῶν ἐναργὴς ταῦρος, ἄλλοτ᾽ αἰόλος

2. ἐκμάθοι] ἐκμάθοις Br. e cod. T.
3. θάνοι] θάνῃ F. 2.
10. τρισὶν] τρισὶ Ald.

1. λόγος—ἀρχαῖος, *dictum antiquum.* Respicit quod de Solone prodidit Herodotus, i. 32. neque tamen prout ab ipso proditum est, exhibet. Dixerat enim Solon neminem, felicitatis ergo, ante mortem prædicandum esse: non e contra, neminem ante mortem infelicem vocari posse.

7. ὄκνον. Alios ὄτλον scripsisse testatur Scholiastes, quod Stephanum probare miror. Loquitur enim Deianeira de ægritudine, quam in paternis ædibus agens ob nuptias futuras perpessa erat, quæ νυμφείων ὄκνος, *nuptiarum metus*, proprie erat. Contra, quæ ob nuptias peractas in calamitatem incidunt, νυμφείων ὄτλον proprie pati dicuntur.

Δράκων ἑλικτὸς, ἄλλοτ' ἀνδρείῳ κύτει
Βούπρωρος· ἐκ δὲ δασκίου γενειάδος
Κρουνοὶ διεῤῥαίνοντο κρηναίου ποτοῦ.
Τοιόνδ' ἐγὼ μνηστῆρα προσδεδεγμένη
Δύστηνος, αἰεὶ κατθανεῖν ἐπηυχόμην
Πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε.
Χρόνῳ δ' ἐν ὑστέρῳ μὲν, ἀσμένῃ δέ μοι,
Ὁ κλεινὸς ἦλθε Ζηνὸς Ἀλκμήνης τε παῖς·
Ὃς εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης,
Ἐκλύεταί με· καὶ τρόπον μὲν ἂν πόνων
Οὐκ ἂν διείποιμ', (οὐ γὰρ οἶδ') ἀλλ' ὅστις ἦν
Θακῶν ἀταρβὴς τῆς θέας, ὅδ' ἂν λέγοι.
Ἐγὼ γὰρ ἥμην ἐκπεπληγμένη φόβῳ,
Μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ.
Τέλος δ' ἔθηκε Ζεὺς Ἀγώνιος καλῶς,

12. κύτει Βούπρωρος] τύπῳ Βούκρανος Ald. Turneb.

12, 13. ἄλλοτ' ἀνδρείῳ κύτει Βούπρωρος. Ita optime reſtituit Caſaubonus ex Strabone, lib. x. p. 458. *Corpore humano, vultu bovino.* Heſychius, κύτος, σῶμα. Vulgo, ἀνδρείῳ τύπῳ Βούκρανος, ubi vox ultima neminem, credo, offendiſſet, niſi aliud elegantius ſuppeditaret Strabo.

14. διεῤῥαίνοντο, *diffluebant.* Enallage eſt conſtructionis: nam proprie ῥαίνεσθαι dicitur id in quod humor diſperſus cadit. Similis enallage occurrit v. 794. Aliarum vocum exempla vide ad Aj. 376. Œd. Col. 1532.

15. προσδεδεγμένη, *adepta, nacta,* ut bene Heathius. Vertit interpres, quaſi eſſet προσδοκῶσα.

18. ἀσμένῃ δέ μοι—ἦλθε. Notiſſima phraſis. Vide ad Eurip. Phœniſſ. 1075.

Εἰ δὴ καλῶς· λέχος γὰρ Ἡρακλεῖ κριτὸν
Ξυστᾶσ', ἀεί τιν' ἐκ φόβου φόβον τρέφω,
Κείνου προκηραίνουσα· νὺξ γὰρ εἰσάγει,
Καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.
Κἀφύσαμεν δὴ παῖδας, οὓς κεῖνός ποτε,
Γήτης ὅπως ἄρουραν ἔκτοπον λαβὼν,
Σπείρων μόνον προσεῖδε κἀξαμῶν ἅπαξ.
Τοιοῦτος αἰὼν εἰς δόμους τε κἀκ δόμων
Αἰεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τῳ.
Νῦν δ', ἡνίκ' ἄθλων τῶνδ' ὑπερτελὴς ἔφυ,
Ἐνταῦθα δὴ μάλιστα ταρβήσασ' ἔχω.
Ἐξ οὗ γὰρ ἔκτα κεῖνος Ἰφίτου βίαν,
Ἡμεῖς μὲν ἐν Τραχῖνι τῇδ' ἀνάστατοι
Ξένῳ παρ' ἀνδρὶ ναίομεν· κεῖνος δ' ὅπου

31. κἀφύσαμεν] κἄφυσα μὲν Turneb. Br.
34. εἰς δόμους τε κἀκ δόμων] ἐκ δόμων τε κεἰς δόμους Br. e cod. B.
40. ὅπου] ὅποι Br.

27. λέχος—κριτὸν, *conjux victoriæ jure addicta.* Infra habes κτῆμα κριτὸν, v. 249. quod interpres ſatis bene vertit, *mancipia electa.*

29. Conſtructio videtur eſſe, νὺξ γὰρ εἰσάγει [πόνον] καὶ νὺξ ἀπωθεῖ πόνον, διαδεδεγμένη, i. e. *ſi una nox miſeriam meam amoverit, proxime ſequens reducit*: διαδεδεγμένη interpretor *alternans.*

35. λατρεύοντά τῳ, *ſervientem alicui.* Emendabam λατρεύοντ' ἀγῷ, *ſervientem regi*, i. e. Euryſtheo. Sed neque vulgatam damno. Præter Euryſthea enim, et Augeæ operam ſuam vendiderat et Laomedonti.

36. ὑπερτελής. Extat vox Æſchyl. Agam. 294. [in edd. Ald. et Turn.] Eurip. Ion. 1571.

38. Ἰφίτου βίαν. De Iphiti cæde vid. v. 274. &c. Diodor. iv. 31.

39. ἀνάστατοι, *domo pulſi, exſules*, a Tirynthe ſc. Peloponneſi urbe, ubi prius habitaverant. Vide v. 274.

40. ξένῳ παρ' ἀνδρί. Ceyci, Trachinis regi: vid. Diodor. iv. 36. 57.

Βέβηκεν, οὐδεὶς οἶδε· πλὴν ἐμοὶ πικρὰς
Ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται.
Σχεδὸν δ' ἐπίσταμαί τι πῆμ' ἔχοντά νιν.
Χρόνον γὰρ οὐχὶ βαιόν, ἀλλ' ἤδη δέκα
Μῆνας πρὸς ἄλλοις πέντ', ἀκήρυκτος μένει.
Κἄστιν τι δεινὸν πῆμα· τοιαύτην ἐμοὶ
Δέλτον λιπὼν ἔστειχε, τὴν ἐγὼ θαμὰ
Θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν.
Θε. Δέσποινα Δηϊάνειρα, πολλὰ μέν σ' ἐγὼ
Κατεῖδον ἤδη πανδάκρυτ' ὀδύρματα
Τὴν Ἡράκλειον ἔξοδον γοωμένην.
Νῦν δ', εἰ δίκαιον τοὺς ἐλευθέρους φρενοῦν
Γνώμαισι δούλαις, κἀμὲ χρὴ φράσαι τόσον,
Πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
Ἀνδρὸς κατὰ ζήτησιν οὐ πέμπεις τινά·
Μάλιστα δ', ὅνπερ εἰκὸς, Ὕλλον, εἰ πατρὸς
Νέμοι τίν' ὤραν τοῦ καλῶς πράσσειν δοκεῖν;
Ἐγγὺς δ' ὅδ' αὐτὸς ἀρτίπους θρώσκει δόμους,

49. Δηϊάνειρα] Δηάνειρα Br. Ita in sequentibus.

49. πολλὰ—ὀδύρματα. Usitatius esset πολλοῖς ὀδύρμασι. Sed sic Noster, Antig. 1217. τοῦ μὲν—λούσαντες ἁγνὸν λουτρόν. Herodotus, vii. 233. τοὺς δὲ πλεῦνας αὐτεῶν—ἔστιζον στίγματα βασιλήϊα.

57. Legendum cum Heathio:

Νέμειν τίν' ὥραν, τοῦ καλῶς πράσσειν, δοκεῖ.

Nisi malis νεῖμαι infinitivo. *Si videtur de patre sollicitus esse, prospera cum fortuna uti.*

58. ἀρτίπους. Hesychius: ἀρτίπους, ἄρτιος τοῖς ποσὶν, ὑγιόπους. Non sine causa commemoratur pedum robur in illo, qui ad Herculem quærendum mittendus erat. Vid. Herod. iv. 161.

Ὡς, εἴ τι σοὶ πρὸς καιρὸν ἐννέπειν δοκῶ,
Πάρεστι χρῆσθαι τἀνδρὶ, τοῖς τ' ἐμοῖς λόγοις.
Δη. Ὦ τέκνον, ὦ παῖ, "κἀξ ἀγεννήτων ἄρα
"Μῦθοι καλῶς πίπτουσιν· ἥδε γὰρ γυνὴ
Δούλη μὲν, εἴρηκεν δ' ἐλεύθερον λόγον.
Υλ. Ποῖον; δίδαξον, μῆτερ, εἰ διδακτά μοι.
Δη. Σὲ, πατρὸς οὕτω δαρὸν ἐξενωμένου,
Τὸ μὴ πυθέσθαι ποῦ 'στιν, αἰσχύνην φέρει.
Υλ. Ἀλλ' οἶδα, μύθοις εἴ τι πιστεύειν χρεών.
Δη. Καὶ ποῦ κλύεις νιν, τέκνον, ἱδρύσθαι χθονός;
Υλ. Τὸν μὲν παρελθόντ' ἄροτον, ἐν μήκει χρόνου,
Λυδῇ γυναικί φασί νιν λάτριν πονεῖν.
Δη. Πᾶν τοίνυν, εἰ καὶ τοῦτ' ἔτλη, κλύοι τις ἄν.
Υλ. Ἀλλ' ἐξαφεῖται τοῦδέ γ', ὡς ἐγὼ κλύω.
Δη. Ποῦ δῆτα νῦν ζῶν ἢ θανὼν ἀγγέλλεται;
Υλ. Εὐβοίδα χώραν φασὶν, Εὐρύτου πόλιν,

65. σὲ] σοὶ Br.
66. φέρει] φέρειν Br. ex Valckenario.
67. μύθοις] μύθοις γ' Ald. Br.
73. θανὼν] θανών γ' Br.

61. ἀγεννήτων. Heſychius: ἀγεννήτων, δυσγενῶν.

65. σέ. Emendat Valckenaerius ad Phœniſſ. 394. σοὶ, quod licet elegantius, tueri tamen ſe poterit vulgata.

66. φέρει. Valckenaerius, ubi ſupra, reponi vult φέρειν, ut pendeat ab εἴρηκεν.

69. ἐν μήκει χρόνου. Conf. Æſchyl. Agam. 619.

71. εἰ καὶ τοῦτ' ἔτλη. Quæri poteſt, cur tantopere Deianira indignetur Omphalæ Herculem ſervire, qui antea per tot annos Euryſtheo ſervilem operam præſtiterat. Mihi videntur duæ hujus indignationis cauſæ fuiſſe, prima, quod fœminæ, altera vero quod Lydæ, i. e. barbaræ in ſervitutem addictus fuerat.

'Επιστρατεύειν αὐτὸν, ἢ μέλλειν ἔτι.
Δη. Ἆρ' οἶσθα δῆτ', ὦ τέκνον, ὡς ἔλειπέ μοι
Μαντεῖα πιστὰ τῆσδε τῆς χώρας πέρι;
Υλ. Τὰ ποῖα, μῆτερ; τὸν λόγον γὰρ ἀγνοῶ.
Δη. Ὡς ἢ τελευτὴν τοῦ βίου μέλλει τελεῖν,
Ἢ τοῦτον ἄρας ἆθλον, εἰς τὸν ὕστερον
Τὸν λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν.
Ἐν οὖν ῥοπῇ τοιᾷδε κειμένῳ, τέκνον,
Οὐκ εἶ ξυνέρξων, ἡνίκ' ἢ σεσώσμεθα,
Κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα,
Καὶ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος;
Υλ. Ἀλλ' εἶμι, μῆτερ· εἰ δὲ θεσφάτων ἐγὼ
Βάξιν κατῄδειν τῶνδε, κᾂν πάλαι παρῆν·

85. καὶ] ἢ Ald. Turneb. tranſponunt autem hunc et præcedentem v.

80. εἰς τὸν ὕστερον. Invenuſtum pleonaſmum efficit, ſequente τὸν λοιπόν. Legendum forte; εἰς τὸ νόστιμον, quod verti poteſt, *ita ut ſoſpes inde evadat*. Heſychius enim νόστιμον ἦμαρ interpretatur τὸ σωτήριον καὶ ἀνακομιστικόν. Poteſt et νόστιμον, *dulce, ſuave* ſignificare, ut Plut. Sympoſ. v. 9. Theophraſt. de Cauſis Plant. iv. 14. Si hanc notionem ſequamur, εἰς τὸ νόστιμον valebit κατὰ τὸ ἡδὺ, *ſecundum vota.* Conf. Marc. Antonin. lib. ii. ſect. 15. Clem. Alex. p. 121.

Vel lege εἰς τὸ σύμφερον. Denique τὸ ὕστερον poteſt ellipſis eſſe pro τὸν ὕστερον χρόνον. Vid. ad Electr. 1081.

83. ——— ἡνίκ' ἢ σεσώσμεθα,
Κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα,
Καὶ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος.

Emendatio eſt Canteri, optima et certiſſima. MSS. mendoſiſſime:

——— ἡνίκ' ἢ σεσώσμεθα,
Ἢ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος,
Κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα.

87. κατῄδειν. Ex Daweſii placitis legendum foret κατῄδη. Vid. Miſcell. Crit. p. 232.

Νῦν δ᾽ ὁ ξυνήθης πότμος οὐκ ἐᾷ πατρὸς
Ἡμᾶς προταρβεῖν οὐδὲ δειμαίνειν ἄγαν.
Νῦν δ᾽, ὡς ξυνίημ᾽, οὐδὲν ἐλλείψω τὸ μὴ
Πᾶσαν πυθέσθαι τῶνδ᾽ ἀλήθειαν πέρι.
Δη. Χώρει νυν, ὦ παῖ· καὶ γὰρ ὑστέρῳ τό γ᾽ εὖ
Πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ.

ΧΟΡΟΣ.

ΕΠῼΔΙΚΑ.

Στροφὴ α΄.

Χο. Ὃν αἰόλα νὺξ ἐναριζομένα
Τίκτει, κατευνάζει τε, φλογιζόμενον
Ἅλιον, ἅλιον αἰτῶ

88. νῦν δ᾽] ἀλλ᾽ Br. poſtponit porro hos duos vſſ. duobus ſequentibus. 90. τὸ μὴ] τὸ μὴ οὐ Br.

92. καὶ γὰρ ὑστέρῳ. Locus haudquaquam perſpicuus. Si Heathium audimus, ſententia erit; *Proſperæ fortunæ nuncius, diu dilatus, gratior tandem advenit.* Verum neque ea interpretatio facile ex verbis fluit, nec Deianiræ fatis conveniret adverſa omnia metuenti. Mihi magis placeret, hoc modo interpretari: *Bene agere, poſtea, cum audiverit aliquis, lucrum afferet:* i. e. licet nullum ex bene actis fructum ſtatim conſequaris, poſtea tamen in commodum cedit, quamprimum reſciverint ii, quorum gratia feceris. Ad animum certe Hyllo addendum nihil accommodatius dicere potuit; nec quidquam obſtat niſi quod εὖ πράσσειν Græcis plerumque ſignificat *proſpera fortuna uti,* non quod interpretatio noſtra poſtulat, *bene facere.* Conf. de hoc Eurip. Hippol. 1032. Suppl. 256. Æſchyl. Choeph. 1044.

Τοῦτο, καρύξαι τὸν Ἀλκμή-
νας, πόθι μοι πόθι παῖς
Ναίει ποτ', ὦ λαμ-
πρᾷ στεροπᾷ φλεγέθων,
Ἢ ποντίους αὐλῶνας, ἢ
Δισσαῖς ἀπείροις κλιθεὶς,
Εἴπ', ὦ κρατιστεύων κατ' ὄμμα.

Ἀντιστροφὴ α'.

Ποθουμένᾳ γὰρ φρενὶ πυνθάνομαι

97. τοῦτο] τούτῳ Ald.
98. πόθι 2do] πόθί μοι Ald.
102. δισσαῖς ἀπείροις] δισσαῖσιν ἀπείροισι Ald.

97. τοῦτο. Regi potest vel ab αἰτῶ vel a καρύξαι. Sed prius malim.

Ibid. καρύξαι τ' Ἀλκμήνας. Audacius paullo Æschylus, Agam. 626. Μενελέων δὲ πεύθομαι. Eurip. Orest. 1449. ἤκουσα—τὴν ἐμὴν ξυνάορον. Pindar. Olymp. xiv. stroph. 2. υἱὸν εἴπῃς.

101. αὐλῶνας. Potest αὐλὼν de *freto* accipi: et sic Dionysius Periegetes, v. 136. ὅθεν στεινὸς ἔρχεται αὐλών. Æschyl. Prometh. 730. αὐλῶνα—Μαιωτικόν. Lycophron, v. 388. ubi Schol. τ δὲ στενὸν τόπον, αὐλῶνα καλεῖ.

102. δισσαῖς ἀπείροις. Parum accurate dicitur. Non enim in duabus continentibus eodem tempore versari potuit. Sed nimis severi sumus, nec tanta loquendi subtilitas a Poeta exigenda.

Ibid. κλιθεὶς, *vicinus*. Sic Homerus, Iliad. Ε. 709. Λίμνῃ κεκλιμένος Κηφισσίδι. Ο. 740. πόντῳ κεκλιμένοι. Vid. et Eurip. Troad. 803.

103. ὦ κρατιστεύων κατ' ὄμμα, *O tu, qui videndi facultate omnes antecellis.* Sic malim interpretari quam *qui lucis splendore antecellis.*

104. ποθουμένᾳ. Sensu activo adhibitum nuspiam participium hoc inveni. An legendum πονουμένᾳ, *turbata, vexata?* Sic πεπονημένος ἀλλήκτοις ὀδύναις infra, v. 1002. τ πονούμενοι ἀκτίζοντο, Thucyd. ii. 51.

Τὰν ἀμφινεικῆ Δηϊάνειραν ἀεὶ,
Οἷά τιν' ἄθλιον ὄρνιν,
Οὔποτ' εὐνάζειν ἀδακρύ-
των βλεφάρων πόθον, ἀλ-
λ' εὔμναστον ἀνδρὸς
Δεῖμα φέρουσαν ὁδοῦ,
Ἐνθυμίοις εὐναῖς τ' ἀναν-
δρώτοις τρύχεσθαι, κακὰν
Δύστανον ἐλπίζουσαν αἶσαν.

Στροφὴ β'.

Πολλὰ γὰρ ὥστ' ἀκάμαντος
Ἢ νότου ἢ Βορέα τὶς
Κύματα εὐρέϊ πόντῳ

110. φέρουσαν] τρέφουσαν Br. ex Casauboni emendatione.
111. εὐναῖς τ'] εὐναῖς Ald. Br.
Ibid. ἀνανδρώτοις] ἀνανδρώτοισι Ald.
116. κύματα εὐρέϊ] κύματ' εὐρέϊ Ald. εὐρέϊ κύματα Br.

107. ἀδακρύτων βλεφάρων. Subaudiendum ὄντων ut sit genitivus absolute positus. Nisi malis ἀδακρύτῳ βλεφάρῳ, *palpebra sicca, lacrymarum experti.*

Scholiastes ἀδακρύτων exponit πολυδακρύτων. Et sic Homerus, Iliad. Λ. 155. ἀξύλῳ ὕλῃ. Hesychius: ἄδιος, πλούσιος. Conf. ad Aj. 1225. ubi plura.

109. Distinguendum forte:

Εὔμναστον ἀνδρὸς
Δεῖμα φέρουσαν, ὁδοῦ
Ἐνθυμίοις, εὐναῖς τ' ἀναν-
δρώτοις τρύχεσθαι.

Sed alentem intus formidinem viri memorem, macerari viæ terroribus, et cubili viduo.

De voce ἐνθύμιον vid. ad Nostri Œd. Tyr. 758.

116. κύματα εὐρέϊ πόντῳ. Ed. Ald. κύματ' εὐρέϊ πόντῳ. Neutrum

Βάντ' ἐπιόντα τ' ἴδοι,
Οὕτω δὲ τὸν Καδμογενῆ
Τρέφει· τὸ δ' αὔξει βιότȣ
Πολύπονον, ὥσπερ πέλαγος
Κρήσιον· ἀλλά τις θεῶν
Αἰὲν ἀμπλάκητον ἄϊδα
Σφε δόμων ἐρύκει.

118. Poſt Καδμογενῆ habet τὸ μὲν F. 2.
120. ὥσπερ] ὥςε Turneb.
122. ἀμπλάκητον] ἀπλάκητον Br. ex Abreſchii emendatione.

metro convenit. Legendum forte, κύματ' ἀν' εὐρεῖ πόντῳ, *fluctus in lato pelago.* Sic χρυσέαις ἀν' ἵπποις, *in aureo curru,* Pind. Olymp. i. antiſtr. 2. An εὐρ̈εῖ ab εὐρ̈ὺς? Vid. Eurip. Hecub. 650.

118. οὔτω δέ. Reponi vult Heathius οὔτω δή. Non deterius, credo, foret ὄτω γε.

119. τρέφει. Tuentur quæ citavi ad Eurip. Hippol. 372. Utrum cum βίος ſubaudito concordet, quæ ſententia eſt Heathii, non dixerim: quanquam talem ellipſin, niſi exemplis firmetur, vix admittendam putem. Poteſt etiam cum κύματα, quanquam plurali, conjungi. Vel lege, Αἶσ' ὧδε τὸν—. Sic τὸν αἶσ' ἄπλαςος ἔχει, Aj. 256. Conf. Apollon. Rhod. iii. 261. 328.

Ibid. αὔξει pro αὔξεται. Vid. ad Œd. Tyr. 1112.

120. ὥσπερ πέλαγος. Ita ed. Ald. Vulgo, ὥςε πέλαγος, quod metro minus convenit.

121. πέλαγος Κρήσιον. Horatius, *in mare Creticum,* lib. i. od. 26.

122. ἀμπλάκητον. Quod reponit Heathius ἀπλάκητον, ſolus veterum præbet Heſychius. Contra nota ſatis ſunt ἤμπλακον, *peccavi,* ἀμπλακία, ἀμπλάκημα. Sententia hic poſtulat vocem, cujus vis fuerit ἀναμάρτητον, *ſine lapſu, lapſus expertem.* Talem efficit negativa particula vulgatæ lectioni addita. Legendum :

Αἰὲν ἀναμπλάκητον ἄϊδα.

In antiſtropha autem, præeunte Aldina,

Πᾶσιν κυκλȣ̃σιν, οἷον Ἄρκτȣ.

Ἀντιστροφὴ β'.

Ὧν ἐπιμεμφομένα σ', ἁ-
δεῖα μὲν, ἀντία δ' οἴσω.
Φαμὶ γὰρ οὐκ ἀποτρύειν
Ἐλπίδα τὰν ἀγαθὰν
Χρῆναί σ'· ἀνάλγητα γὰρ οὐ-
δ' ὁ πάντα κραίνων βασιλεὺς
Ἐπέβαλε θνατοῖς Κρονίδας.
Ἀλλ' ἐπὶ πῆμα καὶ χαρὰ
Πᾶσι κυκλοῦσιν, οἷον ἄρκτου
Στροφάδες κέλευθοι.

129. πάντα] πάντων Turneb.
130. ἐπέβαλε] ἐπέβαλλε Ald.
132. κυκλοῦσιν] κυκλοῦσ' Turneb. Br.

124. *ἀδεῖα μὲν, ἀντία δ' οἴσω.* Legendum, ni fallor: *αἰδοῖα μὲν, ἀντία δ' οἴσω, reverentiæ plena, ſed tamen ſenſibus ejus contraria afferam.* Αἰδοῖα ἔπη habet Æſchylus, Supp. 203. Nec ſpreverim, *ἄδειμα, intrepida, licet menti tuæ adverſa,* i. e. non metuam etiam tibi adverſa proferre. Et ſic fere Heathius, *ἀδεῖα* tamen legens, ab *ἀδεής.*

129. *ὁ πάντα κραίνων.* Ita ed. Ald. Vulgo, *ὁ πάντων κραίνων,* quod metro minus convenit. Cum Aldina ſtat Suidas, v. *ἀποτρύειν.*

132. *πᾶσι κυκλοῦσιν.* Ita ed. Ald. Vulgo, *πᾶσι κυκλοῦσ',* in quibus metrum emendatæ ſtrophes lectioni haudquaquam convenit.

Ibid. *ἄρκτου Στροφάδες κέλευθοι.* Iterum, *ἄρκτου στροφὰς* commemorat in fragmento Palamedis apud Achillem Tatium Iſagog. in Aratum. Vide etiam Homeri Iliad. Σ. 488. Odyſſ. Ε. 274. Eurip. Ion. 1173. Theocrit. Idyll. xxiv. 11. Anacr. od. iii. Juvenal. ſat. v. 23. Urſæ præ cæteris converſiones ideo a poetis commemorari credibile eſt, quod omni anni tempeſtate contemplandas ſeſe præberent.

ΕΠΩΔΟΣ.

Μένει γὰρ οὔτ' αἰόλα νὺξ
Βροτοῖσιν, οὔτε κῆρες,
Οὔτε πλοῦτος, ἀλλ' ἄφαρ
Βέβηκε· τῷ δ' ἐπέρχεται
Χαίρειν τε καὶ στέρεσθαι.
Ἃ καί σε τὰν ἄνασσαν
Ἐλπίσιν λέγω
Τάδ' αἰὲν ἴσχειν· ἐπεὶ
Τίς ὧδε τέκνοισι
Ζῆν' ἄβουλον εἶδεν;

ΔΗΙΑΝΕΙΡΑ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ.

Ἴαμβοι.

Δη. Πεπυσμένη μέν, ὡς ἀπεικάσαι, πάρει,
Πάθημα τοὐμόν· ὡς δ' ἐγὼ θυμοφθορῶ,
Μήτ' ἐκμάθοις παροῦσα· νῦν δ' ἄπειρος εἶ.

137. βέβηκε] βέβακε Ald. Br. 146. παροῦσα] παθοῦσα Turneb. Br.

137. Legendum forte: — τῷ δ' ἐπέρχεται
Χαίροντι καὶ στέρεσθαι.
Nonnemini autem accidit, ut in medio gaudio excidat fortunis ſuis.

139. ἅ. Pro δι' ἅ, ut vere Mudgius et Heathius. Vid. ad Eurip. Phœniſſ. 274. et ſupra ad Œd. Col. 1356. Alioqui in promptu eſt ᾧ, *quamobrem.*

142. ὧδε, *adeo, tantopere*; quantum tu ſc. in animo fingis.

146. μήτ' ἐκμάθοις παροῦσα, νῦν δ' ἄπειρος εἶ. Poſterius comma parum commode præcedentibus annectitur. Legendum putem:

Μήτ' ἐκμάθοις παροῦσ' ἄν, ὧδ' ἄπειρος εἶ.

Neque præſens cognoſcere potueris, adeo inexperta et rudis es. Ne do-

Τὸ γὰρ νεάζον ἐν τοιοῖσδε βόσκεται
Χώροισιν αὐτȣ̃· καί νιν ȣ̉ θάλπος θεȣ̃,

loris ſui magnitudinem recte animo conciperent, obſtabat, ſecundum Deianiram, juvenilis ætas. Id autem quomodo obſtare potuerit, in ſequentibus exponere pergit. Ad finem ſtatuit, eos recte mala ſua intellecturos, quicunque ſimilem vitæ conditionem nacti, ad ſuas ærumnas reſpexerint: v. 154, 5. Commode hic ratiocinium ab initio ad finem uſque procedit; non item, ſi cum ed. Steph. παθȣ̃σα, reliquis manentibus, legamus. Nam ſi verbum ἐκμάθοις potentialiter accipimus, parum ſibi conſtabit Deianira, utpote infra dicens mala ſua ab iis intelligi poſſe, qui ſimilia perpeſſi ſint: 154. Contra ſi optative cum Heathio interpretamur, negotium faceſſet particula μήτε, locum non ſuum obtinens. Dicendum enim erat μὴ vel μήποτε. Vel ſi hic ſcrupulus exemptus eſſet, periret ſaltem connectionis gratia, quæ in altera lectione conſervatur; quam propterea Deianiræ placida, quanquam mœſta, oratione utenti, haud paullo melius convenire arbitror.

147. 148. ἐν τοιοῖσδε βόσκετ̃αι Χώροισιν αὐτȣ̃· καί νιν. Nec αὐτȣ̃ hic ſententiam commodam habet, nec καί. Mihi legendum videbatur:

——ἐν τοιοῖσδε βόσκεται
Χώροις, ἵν' αὐτȣ̃ χλȣ̃νιν ȣ̉ θάλπος θεȣ̃,
Οὐδ' ὄμβρος——.

Metaphora ab arboribus novellis deſumi videtur, quæ, quantum fieri poteſt, a ſolis, imbrium, et ventorum vi, teneras frondes haud parum alioquin læſura, muniri et defendi ſolent.

Vocem χλȣ̃νις ſolus forte veterum conſervavit Æſchylus, Eumen. 187. qui locus ſic legendus:

——σπέρματός τ' ἀποφθορᾷ
Παίδων κακȣ̃ται χλȣ̃νις.——

Ubi viridis ætas puerorum læditur ſeminis abolitione, i. e. ubi pueri caſtrantur. Χλȣ̃νη extat Hom. Iliad. I. 535. ubi ego quidem ὦρσεν ἐπὶ χλȣ̃νην malim legi, i. e. *in frumenti viridem herbam inſtigavit.*

Legi poteſt et, ἵν' αὐτȣ̃ παιδὸν, vel denique ἵν' ȣ̉ ψύχη νιν.

De virginum vita conferendi Sophocles in fragmento Terei apud Stobæum, ſerm. lxvi. Catullus in Epithalamio, v. 38. et ſeq.

Οὐδ' ὄμβρος, οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ,
Ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον
Ἐς τοῦθ', ἕως τις ἀντὶ παρθένου γυνὴ
Κληθῇ, λάβῃ τ' ἐν νυκτὶ φροντίδων μέρος,
Ἤτοι πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη.
Τότ' ἄν τις εἰσίδοιτο, τὴν αὐτοῦ σκοπῶν
Πρᾶξιν, κακοῖσιν οἷς ἐγὼ βαρύνομαι.
Πάθη μὲν οὖν δὴ πόλλ' ἔγωγ' ἐκλαυσάμην,
Ἓν δ', οἷον οὔπω πρόσθεν, αὐτίκ' ἐξερῶ.
Ὁδὸν γὰρ ἦμος τὴν τελευταίαν ἄναξ
Ὡρμᾶτ' ἀπ' οἴκων Ἡρακλῆς, τότ' ἐν δόμοις
Λείπει παλαιὰν δέλτον ἐγγεγραμμένην
Ξυνθήμαθ' ἁ'μοὶ πρόσθεν οὐκ ἔτλη ποτὲ,
Πολλοὺς ἀγῶνας ἐξιὼν, οὕπω φράσαι.
Ἀλλ' ὥς τι δράσων εἷρπε, κοὐ θανούμενος.
Νῦν δ', ὡς ἔτ' οὐκ ὢν, εἶπε μὲν λέχους ὅτι
Χρείη μ' ἑλέσθαι κτῆσιν· εἶπε δ' ἣν τέκνοις

161. ξυνθήμαθ', ἁ'μοὶ] ξυνθήμαθ' ἅ μοι Ald. ξυνθήματα, ἅ μοι Turneb.
163. τὶ] τὶς Ald.
165. χρείη] χρεῖ' ᾖ Ald. Turneb.

152. ἐν νυκτὶ φροντίδων. Hoc utique eſt quod miſeros a reliquo hominum genere diſcriminat. Nemo penitus curarum expers eſt; miſeris tantum curarum magnitudo nocturnæ quietis ſolatium adimit.

161. ξυνθήμαθ', i. e. ξυνθήματα. Vide ſupra ad v. 49.

164. ὅτι. Malim ὅ,τι. *Dixit quid me ut bonum dotale habere oporteret:* ἑλέσθαι, *conſequi, adipiſci.*

164. 165. λέχους—κτῆσις fuerit forte id quod uxori, tanquam dotis compenſatio, oppignerabatur. De quo more vide Harpocration. v. ἀποτιμηταί. Demoſthenes in Euergum et Mneſibulum: *ἀπαγορευούσης τῆς γυναικὸς μὴ ἅπτεσθαι αὐτῶν* [ſc. τῶν σκευῶν] *καὶ λεγούσης ὡς αὐτῆς εἴη ἐν τῇ προικὶ τετιμημένα,* p. 1156. ed. Reiſk.

165. χρείη. Extat apud Plat. p. 1292. C. Conf. ad Œd. Tyr. 810.

Μοῖραν πατρῴας γῆς διαιρετὸν νέμοι,
Χρόνον προτάξας ὡς τρίμηνον, ἡνίκ' ἂν
Χώρας ἀπίῃ, κἀνιαύσιος βεβὼς,
Τότ' ἢ θανεῖν χρείῃ σφε τῷδε τῷ χρόνῳ,
Ἢ τοῦθ' ὑπεκδραμόντα τοῦ χρόνου τέλος,
Τολοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ.
Τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα

166. νέμοι] μένειν Ald. Ibid. κἀνιαύσιος] κἀνιαύσιον Br.
168. ἀπίῃ] ἀπείῃ Br. e cod. B.

168. ἀπίῃ. Inventum eſſe ἀπήει teſtatur Stephanus, ipſe etiam vulgatæ anteponens. Mihi R. Daweſius vere conjeciſſe videtur ἀπείῃ, Miſcell. Crit. p. 333. Quanquam neque ille loci, perquam ſane ſalebroſi, ullam interpretationem protulit, ut, hoc mendo ſublato, non multo facilior, quam ante, ſit. Mihi legendum et diſtinguendum videtur :

Χρόνον προτάξας ὡς τρίμηνον ἡνίκ' ἂν
Χώρας ἀπείῃ κἀνιαύσιον βεβώς.

Tempus præſtituens ut quando profectus [βεβὼς] *regione abeſſet* [χώρας ἀπείῃ] *trimeſtre et annuum.* Tempus nimirum ab Hercule præfinitum nec trimeſtre erat nec annuum, ſed trimeſtre cum annuo, i. e. quindecim menſes. Id omne ſpatium jam poſt Herculis abitum elapſum erat, teſte Deianira ipſa, v. 45. Minus accurate Chorus annui tantum ſpatii meminit infra, v. 837. et ſeq. Verum neque odarum indoles magnam ἀκρίβειαν poſtulat, neque de ea cogitare patitur vehemens quæcunque animi commotio. Abſuiſſe a Deianira ſpatium annuo longius, vel inde certiſſime colligas, quod Omphalæ ſerviens ἐνιαυτὸν ἐξέπλησε, *annum integrum explevit,* teſte Licha, v. 257.

172. Conſtructio loci parum ſane expediti ſic fortaſſe inſtituenda eſt : τοιαῦτα ἐκτελευτᾶσθαι ἔφραζε, *talia* [vel *tali modo*] *terminari dixit,* πρὸς θεῶν εἱμαρμένα, *quæ a diis decreta erant,* τῶν Ἡρακλείων πόνων, *de laboribus Herculeis.* Pro τοιαῦτ' non nolim τοιάδ'. Quanquam ut quæque inſolentior conſtructio eſt, Sophocleum characterem magis refert.

Τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων,
Ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε
Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη.
Καὶ τῶνδε ναμέρτεια συμβαίνει χρόνου
Τοῦ νῦν παρόντος, ὡς τελεσθῆναι χρεών.
Ὥσθ᾽ ἡδέως εὕδουσαν ἐκπηδᾶν ἐμὲ
Φόβῳ, φίλαι, ταρβοῦσαν, εἴ με χρὴ μένειν
Πάντων ἀρίστου φωτὸς ἐστερημένην.
Χο. Εὐφημίαν νῦν ἴσχ᾽· ἐπεὶ καταστεφῆ
Στείχονθ᾽ ὁρῶ τιν᾽ ἄνδρα πρὸς χαρὰν λόγων.
Αγ. Δέσποινα Δηϊάνειρα, πρῶτος ἀγγέλων
Ὄκνου σε λύσω· τὸν γὰρ Ἀλκμήνης τόκον
Καὶ ζῶντ᾽ ἐπίστω, καὶ κρατοῦντα, κἀκ μάχης
Ἄγοντ᾽ ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.
Δη. Τίν᾽ εἶπας, ὦ γεραιὲ, τόνδε μοι λόγον;
Αγ. Τάχ᾽ ἐς δόμους σοὺς τὸν πολύζηλον πόσιν

182. χαρὰν] χάριν Br.

175. δισσῶν ἐκ πελειάδων. De hac fabula videndus Herodotus, lib. ii. 55. et ſeq. Quod ibi ait Ægyptias mulieres ob ſermonem peregrinum avium nomen adeptas eſſe, firmari videtur ab Æſchylo, Agam. 1059. Conf. et Nonnum in Dionyſ. iii. 286.

176. ναμέρτεια. Valet, puto, ἀκρίβεια.

Ibid. χρόνου. Subaudiendum forte ἐπὶ, ut in exemplis citatis ad Electr. 906. Συμβαίνει ἐπὶ χρόνου τοῦ νῦν, *cadit in tempus præſens.* Confer tamen annotata ad Œd. Col. 410.

181. εὐφημίαν—ἴσχ᾽, *bene ominata loquere.* Quaſi caſtigatio eſt Deianiræ, cujus orationem male ominata verba terminaverunt.

182. πρὸς χαρὰν λόγων, *præ lætitia nuncii*, vel ſimpliciter *lætitia nuncii.* Sic πρὸς ὀργὰν, πρὸς φθόνον, et ſimilia.

186. θεοῖσι τοῖς ἐγχωρίοις, *diis, hujus terræ tutelam habentibus.*

Ἥξειν, φανέντα σὺν κράτει νικηφόρῳ.
Δη. Καὶ τοῦ τόδ', ἀστῶν, ἢ ξένων μαθὼν λέγεις;
Αγ. Ἐν βουθερεῖ λειμῶνι πρόσπολος θροεῖ
Λίχας ὁ κῆρυξ ταῦτα· τοῦ δ' ἐγὼ κλύων,
Ἀπῆξ', ὅπως τοι πρῶτος ἀγγείλας τάδε,
Πρὸς σοῦ τι κερδάναιμι, καὶ κτῴμην χάριν.
Δη. Αὐτὸς δὲ πῶς ἄπεστιν, εἴπερ εὐτυχεῖ;
Αγ. Οὐκ εὐμαρείᾳ χρώμενος πολλῇ, γύναι.
Κύκλῳ γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς
Κρίνει παραστάς, οὐδ' ἔχει βῆναι πρόσω·
Τὸ γὰρ ποθοῦν ἕκαστος ἐκμαθεῖν θέλων
Οὐκ ἂν μεθεῖτο πρὶν καθ' ἡδονὴν κλύειν.
Οὕτως ἐκεῖνος οὐχ ἑκών, ἑκοῦσι δὲ
Ξύνεστιν· ὄψει δ' αὐτὸν αὐτίκ' ἐμφανῆ.
Δη. Ὦ Ζεῦ, τὸν Οἴτης ἄτομον ὃς λειμῶν' ἔχεις,
Ἔδωκας ἡμῖν (ἀλλὰ σὺν χρόνῳ) χαράν.
Φωνήσατ', ὦ γυναῖκες, αἵ τ' εἴσω στέγης,
Αἵ τ' ἐκτὸς αὐλῆς, ὡς ἄελπτον ὄμμ' ἐμοὶ

190. τοῦ τόδ'] τοῦτο δ' Ald. Turneb. 193. τοι] σοὶ Br.

198. κρίνει, *interrogat:* ut infra, v. 318. et 392. Conf. Aj. 587.

199. τὸ ποθοῦν. Græcorum more pro τὸν πόθον. Vid. ad Œd. Col. 1284.

203. ἄτομον, *falce intactum*, i. e. conſecratum. Vide ad Eurip. Hippol. 76.

205. αἵ τ' εἴσω στέγης, αἵ τ' ἐκτὸς αὐλῆς. Recte Valckenaerio ad Ammonium ſynonyma στέγης et αὐλῆς diſplicebant, tautologiam quippe invenuſtam facientia. Legendum putem: αἵ τ' εἴσω στέγην, Αἵ τ' ἐκτὸς, αὐλῆς. Εἴσω στέγην ut Ἴλιον εἴσω apud Homerum, Iliad. Σ. 439. Στέγην αὐλῆς ut μελάθρων στέγην, Eurip. Alceſt. 23.

206. Poſt particulam ὡς ſubjungere amant Græci genitivum

Φήμης ἀνασχὸν τῆσδε νῦν καρπούμεθα.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ἀνολόλυξον δόμοις
Ἐφεστίοις ἀλαλαγαῖς,
Ὁ μελλόνυμφος· ἐν δὲ

208. ἀνολόλυξον δόμοις] ἀνολολύξετε δόμοις Ald. ἀνολολύξατε δόμοι Br. 209. ἀλαλαγαῖς] ἀλαλαῖς Ald.

vel nominativum abſolute poſitum. Sic, ὡς τόδ' αἷμα χειμάζον πόλιν, Œd. Tyr. 101. Hinc mihi nata eſt ſuſpicio, idem hic quoque obtinere, legendumque adeo: τὸ γε νῦν καρπούμεθα. *Utpote luce inſperata exoriente ex ſermone quem nunc conſequimur.*

Ὄμμα, *lux*, plane ut cognatum φάος, *ſpem*, nonnunquam ſignificat. Vid. hujus fab. 1036.

208. Vere monet Heathius Monoſtrophica, non Epodica eſſe.

Ibid. δόμοις, *intus in domo.* Alloquitur fœminas quæ intus tum agebant; αἳ εἴσω στέγης, ut loquitur Deianira ſupra, v. 205. Pro ἀνολόλυξον editio Colinæi (ad Aldinæ fidem, ni fallor, expreſſa) habet ἀνολολύξετε.

209. ἐφέστιοι ἀλαλαγαὶ fuerint *clamores læti circa focum.* De his vide Libanium, vol. ii. p. 162. ubi ſic: γυναικῶν, κατὰ τὸν αὐτῶν νόμον, οἴκοθεν ἑκάστης ἐκπεμπούσης εὐφημίαν. Scholiaſtes Pindari ad Olymp. vii. epod. 2. ἡ ἀλαλαγὴ κυρίως ἐπὶ τῆς τῶν πολεμίων συμβολῆς γίνεται.

210. ὁ μελλόνυμφος. Malim ἁ μελλόνυμφος, qua voce deſignari puto non Deianiram, quæ Heathii ſuſpicio eſt, neque virginem ullam deſponſatam, ſed virginem quamcunque nubilem, vel potius (quoniam ſingularis hic pro plurali ponitur) omnes ex Deianiræ domo virgines. Singularem vocem adhiberi non eſt quod miremur; rem quippe a veteribus et alibi, et in præceptis quoque dandis frequentatam. Horatius de Arte Poet. v. 119.

Aut famam ſequere, aut ſibi convenientia finge,
Scriptor.

Κοινὸς ἀρσένων ἴτω
Κλαγγά· τὸν εὐφαρέτραν
Ἀπόλλωνα προστάταν,
Ὁμοῦ δὲ καὶ Παιᾶνα, Παιᾶνα
Ἀνάγετ᾽, ὦ παρθένοι·
Βοᾶτε τὰν ὁμόσπορον
Ἄρτεμιν Ὀρτυγίαν,
Ἐλαφηβόλον, ἀμφίπυ-

214. δὲ καὶ] δὲ Ald. Br.
Ibid. Παιᾶνα 2do] Παιᾶν᾽ Br.
Ibid. In fine versus plene diftinguit Turn.
218. ἐλαφηβόλον] ἐλαφοβόλον Ald.

Sed neque exemplo caret nominativus cum verbo imperativo conjunctus. Virgil. Æneid. xi. 464.

—— *equitem, Meffapus, in armis,*
Et cum fratre Coras, latis diffundite campis.

213. προστάται. Apollinem προστατήριον commemorat Hefychius, eundem haud dubie quem Nofter hic προστάταν vocat.

215. ἀνάγετ᾽. Eurip. Phœniff. 1388. ἀνάγετ᾽, ἀνάγετε κωκυτόν. Idem, Electr. 126. ἄναγε πολύδακρυν ἁδονάν, ex emendatione Sopingii. Herc. Fur. 1336. Τίμιον ἀνάξει πᾶσ᾽ Ἀθηναίων πόλις. Vid. ejufdem Troad. 330. Callimach. in Delum, 279. Lafum apud Athenæum, xiv. cap. 5. Nondum inveni qui dixerit ἀνάγειν θεὸν pro ὑμνεῖν θεόν. Quanquam ut ubique infolentiora amat Sophocles, ita et hic non incredibile eft ultra aliorum poetarum licentiam proceffiffe.

216. Malim, afyndeti vitandi caufa,

Βοᾶτε, τὰν ὁμόσπορόν τ᾽
Ἄρτεμιν——.

217. Ὀρτυγίαν. Alibi nomen loci eft Ὀρτυγία, de qua vide Spanhemium ad Callimach. Apoll. 59, 60. Sufpicetur aliquis inde legendum effe Ὀρτυγίας, ut ὁ Θήβας Βακχεῖος, Antig. 159.

218. ἀμφίπυρον, *tædam utraque manu geftantem.* Λαμπάδας Ἀρτέμιδος memorat Philippus, Anthol. p. 333. addendus locis citatis Spanhemio ad Callimach. Dian. 11. Conf. ad Œd. Tyr. 217.

ρον, γείτονάς τε νύμφας.
Ἀείρομ᾽, οὐδ᾽ ἀπώσομαι
Τὸν αὐλὸν, ὦ τύραννʼ ἐμᾶς φρενός.
Ἰδού μ᾽ ἀναταράσσει
Εὐοῖ μ᾽ ὁ κισσὸς, ἄρτι βακχείαν
Ὑποστρέφων ἅμιλλαν.

221. τύραννʼ] τύραννε τᾶς Ald. Br. 223. βακχείαν] βακχίαν Br.

219. γείτονάς τε νύμφας. Litus vicinum Dianæ sacrum fuisse docebimus infra ad v. 647. Hujus Dianæ comites sunt, quas γείτονας νύμφας vocat.

221. τὸν αὐλόν. Cum nulla in reliquo cantico tibiæ mentio sit, legendum forte τὸ σαυλὸν, i. e. τὸ κοῦφον. Hesychius, σαυλά, κοῦφα, σαυλὸν, ἁβρὸν, κοῦφον. Euripides, Cyclop. 40. ἀοιδαῖς βαρβίτων σαυλούμενοι. Sententia est: *attollor, elevor, nec detrectabo motum saltatorium.*

Ibid. ὦ τύραννʼ ἐμᾶς φρενός. Ed. Colin. ὦ τύραννε τᾶς ἐμᾶς φρενός. Utrumlibet valet, *O amata, O dilecta.* Solenniter enim amati reges et tyranni amantium audiunt. Anacreon, v. 141. ἁπάντων κρατοῦντα καὶ τύραννον. *Regnum Cynaræ* habet Horatius, lib. iv. od. 1. *Dominus pectoris mei* bis legitur apud Symmachum, lib. vii. epist. 104. lib. viii. epist. 29.

222. Distinguendum forte:

Ἰδού μ᾽· ἀναταράσσει
Εὐοῖ μ᾽ ὁ κισσός.

223. Εὐοῖ. Heathio verbum est, cujus tamen nullum auctorem citat, nec facile, credo, citasset. Præstat igitur ut vocem Baccho acclamatam accipere, quales sunt in sacris scripturis Hosanna et Halleluia, in profanis ἐλελεῦ.

Ibid. ὁ κισσὸς, i. e. thyrsus, ab Euripide κισσινὸν βέλος vocatus, Bacch. 25. Thyrsi attactus quia animum enthusiasmo implere credebatur, inde solenni metaphora *thyrso percuti* valet *extra se rapi.* Lucretius, i. 922.

Percussit thyrso laudis spes magna meum cor.

224. ὑποστρέφων, *reducens, renovans.* Chorum ex innuptis puellis

Ἰὼ, ἰὼ παιὰν,
Ἴδε, ἴδ᾽, ὦ φίλα γύναι·
Τάδ᾽ ἀντίπρωρα δή σοι
Βλέπειν πάρεστ᾽ ἐναργῆ.

ΔΗΙΑΝΕΙΡΑ, ΛΙΧΑΣ, ΧΟΡΟΣ.

Ἴαμβοι.

Δη. Ὁρῶ, φίλαι γυναῖκες, ὀυδέ μ᾽ ὄμματος
Φρουρὰ παρῆλθ᾽ ἐς τόνδε μὴ λεύσσειν στόλον.
Χαίρειν δὲ τὸν κήρυκα προὐνέπω χρόνῳ
Πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρει.
Λι. Ἀλλ᾽ εὖ μὲν ἵγμεθ᾽, εὖ δὲ προσφωνούμεθα,
Γύναι, κατ᾽ ἔργου κτῆσιν· " ἄνδρα γὰρ καλῶς

226. ἴδε] ἴδ᾽ Br.
227. δὴ] δῆτα Br.
230. παρῆλθ᾽ ἐς] παρῆλθε Ald. Br.
231. προὐνέπω] προὐννέπω Ald.

constare liquet ex v. 146. Verum has, ea ætate, nihil prohibet Bacchi mysteriis antea initiatas esse. Sic Bacchanalium agmen Euripidi constituunt Νέαι, παλαιαὶ, παρθένοι τ᾽ ἔτ᾽ ἄζυγες, Bacch. 694. Sic et Cybeles orgia concelebrabat Aristodice quædam, de qua sic Leonidas apud Reiskium, Epigr. 499.

—— πολλὰ προνήϊα καὶ παρὰ βωμῷ
Παρθενικὴν ἐτίναξ᾽ ἔνθα καὶ ἔνθα κόμην.

227. Hesychius: ἀντίπρωρα, ἀντιπρόσωπα· πρῶρα γὰρ τὸ πρόσωπον· καὶ ἀνδρόπρωρον, ἀνδρόπροσωπον. Σοφοκλῆς Τραχινίαις. Æschyl. Agam. 244. στόματός τε καλλιπρώρου.

230. φρουρὰ παρῆλθ᾽. Malim, φρουρὰν παρῆλθ᾽. *Nec oculorum mihi custodiam fefellit, vel præteriit.*

232. χαρτὸν εἴ τι καὶ φέρει, *modo aliquam lætandi materiem apportet.* Subtimide loquitur, velut metuens, ne prior ille nuncius falsus evadat.

234. κτῆσιν. Malim κμῆσιν, i. e. πόνησιν. Hesychius: κμητὰ, πε-

" Πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.
Δη. Ὦ φίλτατ' ἀνδρῶν, πρῶθ', ἃ πρῶτα βούλομαι,
Δίδαξον, εἰ ζῶνθ' Ἡρακλέα προσδέξομαι.
Λι. Ἔγωγέ τοι σφ' ἔλειπον ἰσχύοντά τε,
Καὶ ζῶντα, καὶ θάλλοντα, κοὐ νόσῳ βαρύν.
Δη. Ποῦ γῆς πατρῴας, εἴτε βαρβάρου, λέγε.
Λι. Ἀκτή τις ἔστ' Εὐβοῒς, ἔνθ' ὁρίζεται
Βωμοὺς, τέλη τ' ἔγκαρπα Κηναίῳ Διΐ.
Δη. Εὐκταῖα φαίνων, ἢ 'πὸ μαντείας τινός;
Λι. Εὐκταῖ', ὅθ' ᾕρει τῶνδ' ἀνάστατον δορὶ
Χώραν γυναικῶν, ὧν ὁρᾷς ἐν ὄμμασιν.
Δη. Αὗται δὲ, πρὸς θεῶν, τοῦ ποτ' εἰσὶ, καὶ τίνες;
Οἰκτραὶ γὰρ, εἰ μὴ ξυμφοραὶ κλέπτουσί με.

242. τέλη] τελεῖ Ald. Br.

ποιημένα, πεπονημένα. Vulgata si cui placuerit, κατ' ἔργου κτῆσιν interpretari potest, κατὰ τοῦτο, ὃ τὸ ἔργον κέκτηται.

237. προσδέξομαι. Dubitabam aliquando annon præstaret προσδέρξομαι.

242. Βωμοὺς, τέλη τ' ἔγκαρπα. Valckenaerius vir clariss. Diatrib. in fragm. Eurip. p. 144. emendat βωμούς θ' ἕλη τ' ἔγκαρπα, ut per ἕλη designetur *lucus*. Non displicet ἕλη, modo ne quis *paludes* interpretur, sed cum Hesychio σύμφυτον τόπον, vel χεῖλος ποταμοῦ. Malim tamen sic sublata copula, βωμοὺς, ἕλη τ' ἔγκαρπα, *aras, et agros frugiferos*. Si de *luco* hic loquitur auctor, satis commodum foret θάλη τ' ἔγκαρπα, *et frondes pomiferas*. Conf. v. 767.

Τέλη ἔγκαρπα ex Scholiastis interpretatione foret θυσίας ἐγκάρπους, quæ hic non videntur convenire, quando Hercules non frugibus tantum aut libis litavit, sed bobus duodecim, præter alias pecudes, v. 775. De voce τέλη vide ad Antig. 147. Nec absurdum foret τέλη interpretari προσόδους, *proventus annuos*. Vide Harpocration. v. ἀπὸ μισθωμάτων.

Λι. Ταύτας ἐκεῖνος, Εὐρύτου πέρσας πόλιν,
Ἐξείλεθ' αὑτῷ κτῆμα καὶ θεοῖς κριτόν.
Δη. Ἦ κἀπὶ ταύτῃ τῇ πόλει τὸν ἄσκοπον
Χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον;
Λι. Οὔκ· ἀλλὰ τὸν μὲν πλεῖστον ἐν Λυδοῖς χρόνον
Κατείχεθ', ὥς φησ' αὐτὸς, οὐκ ἐλεύθερος,
Ἀλλ' ἐμποληθείς· "τοῦ λόγου δ' οὐ χρὴ φθόνον,
"Γύναι, προσεῖναι, Ζεὺς ὅτου πράκτωρ φανῇ.
Κεῖνος δὲ πραθεὶς Ὀμφάλῃ τῇ βαρβάρῳ
Ἐνιαυτὸν ἐξέπλησεν, ὡς αὐτὸς λέγει.
Χ' οὕτως ἐδήχθη τοῦτο τοὔνειδος λαβὼν,
Ὥσθ' ὅρκον αὑτῷ προσβαλὼν διώμοσεν,
Ἦ μὴν τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθους
Ξὺν παισὶ καὶ γυναικὶ δουλώσειν ἔτι.
Κοὐχ ἡλίωσε τοὔπος· ἀλλ' ὅθ' ἁγνὸς ἦν,
Στρατὸν λαβὼν ἐπακτὸν, ἔρχεται πόλιν
Τὴν Εὐρυτείαν· τόνδε γὰρ μεταίτιον

261. παισὶ] παιδὶ Ald.

249. κτῆμα—κριτόν. Supra habes λέχος κριτὸν, v. 27.

251. ἡμερῶν. Regi potest ab ἀνήριθμον, ut ἀνάριθμος θρήνων, Electr.

254. Vel a χρόνον pendere. Nec spernendum esset ἡμερῶν ἀνηρίθμων.

254. φθόνον. Hesychius interpretatur πάθος ἐπὶ τῇ τοῦ πέλας εὐπραγίᾳ. Hic tamen simpliciter *molestiam* significare videtur. *Non debet molestia adesse voci cujus Jupiter auctor fuerit*, i. e. non debet moleste ferri talis vox.

260. ἀγχιστῆρα. Nuspiam alibi vocem hanc invenio. Radix fuerit ἄγχιστος, *proximus*, unde comparet aliquis *culpæ proximum*, Phædri lib. i. fab. 10. Non spernendum esset ἀρτιστῆρα ab ἀρτίζω, utpote quod ex analogiæ saltem regulis recte formatum esset.

Μόνον βροτῶν ἔφασκε τοῦδ' εἶναι πάθους·
Ὃς αὐτὸν ἐλθόντ' ἐς δόμους ἐφέστιον,
Ξένον παλαιὸν ὄντα, πολλὰ μὲν λόγοις
Ἐπεῤῥόθησε, πολλὰ δ' ἀτηρᾷ φρενὶ,
Λέγων, χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη,
Τῶν ὧν τέκνων λείποιτο πρὸς τόξου κρίσιν·
Φωνεῖ δὲ δοῦλος ἀνδρὸς ὡς ἐλευθέρου
Ῥαίοιτο· δείπνοις δ', ἡνίκ' ἦν οἰνωμένος,
Ἔῤῥιψεν ἐκτὸς αὐτόν· ὧν ἔχων χόλον,
Ὡς ἵκετ' αὖθις Ἴφιτος Τιρυνθίαν
Πρὸς κλιτὺν, ἵππους νομάδας ἐξιχνοσκοπῶν,
Τότ' ἄλλοσ' αὐτὸν ὄμμα, θατέρᾳ δὲ νοῦν
Ἔχοντ', ἀπ' ἄκρας ἧκε πυργώδους πλακός.
Ἔργου δ' ἕκατι τοῦδε μηνίσας ἄναξ
Ὁ τῶν ἁπάντων Ζεὺς πατὴρ Οὐλύμπιος,

276. θατέρᾳ] θητέρᾳ Br. θἀτέρᾳ Ald. 279. Οὐλύμπιος] ὀλύμπιος Ald. Turn. Br.

267. 268. πολλὰ μὲν λόγοις Ἐπεῤῥόθησε. Facile intelligerem nisi oppositum haberet πολλὰ δ' ἀτηρᾷ φρενί. Nam si ἐπιῤῥοθεῖν λόγοις interpreteris, (ut interpretari necesse est) *dicteriis incessere*, quid erit, quæso, ἀτηρᾷ φρενὶ ἐπιῤῥοθεῖν? An ἀτηρᾷ φρενὶ ablativus erit causæ incitantis, ut si dicas Latine, *præ amentia?* At nulla tum inter duo commata oppositio erit, nec ullus adeo locus particulis μὲν et δέ. Nam et dicteria ista, æque credo ac alia quævis Euryti facta, a mente furiosa profecta sunt. At quid multa? Legendum:

——— πολλὰ μὲν μόγοις
Ἐπεῤῥόθησε, πολλὰ δ' ἀτηρᾷ φρενί.

Multa quidem ob labores et ærumnas illusit, (vel *exprobravit*) *multa autem ob mentis furorem,* tum sc. cum Megaram liberosque ex ea susceptos interemit.

271. 272. ἀνδρὸς ὡς ἐλευθέρου Ῥαίοιτο, *quod ab homine libero,* i. e. Eurystheo, *mulcaretur,* i. e. vexaretur.

Πρατόν νιν ἐξέπεμψεν, οὐδ' ἠνέσχετο,
Ὁθ' οὕνεκ' αὐτὸν μοῦνον ἀνθρώπων δόλῳ
Ἔκτεινεν· εἰ γὰρ ἐμφανῶς ἠμύνατο,
Ζεύς τ' ἂν συνέγνω ξὺν δίκῃ χειρουμένῳ.
“Ὕβριν γὰρ οὐ στέργουσιν οὐδὲ δαίμονες.
Κεῖνοι δ' ὑπερχλιδῶντες ἐκ γλώσσης κακῆς,
Αὐτοὶ μὲν Ἅδου πάντες εἴσ' οἰκήτορες,
Πόλις δὲ δούλη· τάσδε δ', ἅσπερ εἰσορᾷς,
Ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον,
Χωροῦσι πρὸς σέ· ταῦτα γὰρ πόσις τε σὸς
Ἐφεῖτ', ἐγὼ δὲ, πιστὸς ὢν κείνῳ, τελῶ.
Αὐτὸν δ' ἐκεῖνον, εὖτ' ἂν ἁγνὰ θύματα
Ῥέξῃ πατρῴῳ Ζηνὶ τῆς ἁλώσεως,
Φρόνει νιν ὡς ἥξοντα· τοῦτο γὰρ λόγου
Πολλοῦ καλῶς λεχθέντος ἥδιστον κλύειν.
Χο. Ἄνασσα, νῦν σοι τέρψις ἐμφανὴς κυρεῖ,
Τῶν μὲν παρόντων, τῶν δὲ πεπυσμένη λόγῳ.
Δη. Πῶς δ' οὐκ ἐγὼ χαίροιμ' ἂν, ἀνδρὸς εὐτυχῆ
Κλύουσα πρᾶξιν τήνδε, πανδίκῳ φρενί;

289. τε σὸς] γ' ὁ σὸς Br. 296. πεπυσμένη] πεπυσμένης voluit Br.

285. Interpungendum cum Heathio:

Κεῖνοι δ' ὑπερχλιδῶντες, ἐκ γλώσσης κακῆς Αὐτοὶ μὲν—

291. ἁγνὰ θύματα. Non hic cogitandum de hoſtiis καθαρσίοις. Hercules quippe, ante expeditionem ſuſceptam, a cæde Iphiti purus erat, v. 262. Intelligo igitur ſacrificia perfecta, quibus nihil ad puritatem deerat, ſive in victimis, ſive in igne, ſive in ritibus. Æſchyl. Perſ. 613. βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα. Alia ſunt Platonis ἁγιὰ θύματα, p. 875. C. Idem: ἱερεῦσι τε καὶ ἱερείαις ἐγχειριζέτω τὰ θύματα, οἷς ἁγνεία τούτων ἐπιμελὴς, p. 961. B.

298. Ponenda diſtinctio minima poſt τήνδε, ut πανδίκῳ φρενὶ cum χαίροιμι cohæreat.

Πολλὴ δ' ἀνάγκη τῇδε τοῦτο συντρέχειν.
Ὅμως δ' ἔνεστι τοῖσιν εὖ σκοπουμένοις
Ταρβεῖν τὸν εὖ πράσσοντα μὴ σφαλῇ ποτε.
Ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη, φίλαι,
Ταύτας ὁρώσῃ δυσπότμους, ἐπὶ ξένης
Χώρας ἀοίκους ἀπάτοράς τ' ἀλωμένας·
Αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως
Ἀνδρῶν, τανῦν δὲ δοῦλον ἴσχουσιν βίον.
Ὦ Ζεῦ τροπαῖε, μήποτ' εἰσίδοιμί σε
Πρὸς τοὐμὸν οὕτω σπέρμα χωρήσαντά ποι,
Μηδ', εἴ τι δράσεις, τῆσδέ γε ζώσης ἔτι.
Οὕτως ἐγὼ δέδοικα, τάσδ' ὁρωμένη.
Ὦ δυστάλαινα, τίς ποτ' εἶ νεανίδων;
Ἄνανδρος, ἢ τεκνοῦσα; πρὸς μὲν γὰρ φύσιν,
Πάντων ἄπειρος τῶνδε, γενναία δέ τις.
Λίχα, τίνος ποτ' ἐστὶν ἡ ξένη βροτῶν;
Τίς δ' ἡ τεκοῦσα, τίς δ' ὁ φιτύσας πατήρ,
Ἔξειπ'· ἐπεί νιν τῶνδε πλεῖστον ᾤκτισα

299. πολλὴ δ'] πολλή 'στ' Ald. Br. qui et πολλή τ' invenit.

312. τεκνοῦσα] τεκοῦσα Turneb. τεκνοῦσσα Br.

301. ταρβεῖν τὸν εὖ πράσσοντα. Verbum ταρβεῖν pariter accusativum adsciscit, Eurip. Supp. 330. Comparandum etiam χαίρειν cum accusativo ad Antig. 640.

312. τεκνοῦσα. Ita ed. Ald. quod ego quidem interpreter *liberis operam dans*, i. e. matrimonio juncta: ut Hom. Odyss. Z. 63. οἱ δύ' ὀπυίοντες, i. e. mariti. Ed. Steph. τεκοῦσα, quod esset τετοκυῖα, *quæ jam peperit*. Hesychius τεκνοῦσα interpretatur τέκνον ἔμβρυον ἔχουσα, i. e. *gravida*. Sed neutra quæstio commodam oppositionem cum ἄνανδρος efficit, nec ratio apparet cur Deianiræ in mentem veniret de utrolibet quærere.

Βλέπουσ', ὅσῳ περ καὶ φρονεῖν οἶδεν μόνη.
Λι. Τί δ' οἶδ' ἐγώ; τί δ' ἄν με καὶ κρίνοις; ἴσως
Γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις.
Δη. Μὴ τῶν τυράννων Εὐρύτου σπορά τις ἦν;
Λι. Οὐκ οἶδα· καὶ γὰρ οὐδ' ἀνιστόρουν μακράν.
Δη. Οὐδ' ὄνομα πρός του τῶν ξυνεμπόρων ἔχεις;
Λι. Ἥκιστα· σιγῇ τοὐμὸν ἔργον ἤνυτον.
Δη. Εἴπ', ὦ τάλαιν', ἀλλ' ἡμὶν ἐκ σαυτῆς· ἐπεὶ
Καὶ ξυμφορά τις μὴ εἰδέναι σέ γ' ἥτις εἶ.
Λι. Οὔ τ' ἆρα τῷ γε πρόσθεν οὐδὲν ἐξίσου
Χρόνῳ διοίσει γλῶσσαν, ἥτις οὐδαμᾶ
Προὔφηνεν οὔτε μείζον', οὔτ' ἐλάσσονα·
Ἀλλ' αἰὲν ὠδίνουσα συμφορᾶς βάρος,
Δακρυῤῥοεῖ δύστηνος, ἐξότου πάτραν
Διήνεμον λέλοιπεν· ἡ δέ τοι τύχη
Κακὴ μὲν αὐτῇ γ', ἀλλὰ συγγνώμην ἔχει.
Δη. Ἡ δ' οὖν ἐάσθω, καὶ πορευέσθω στέγας

320. τῶν τυράννων—σπορά τις ἦν] τοῦ τυραννεύοντος—σπορὰ Br. 325. τὶς] τοὶ Ald.

317. *φρονεῖν οἶδεν μόνη.* Quod prudentiæ ſpecimen ediderit Iole, ex contextu non patet; liberaque adeo conjectura lectori relinquitur, utrum lacrymis præſentis mali ſenſum teſtata ſit, an vultu ſereno et placido animi magnitudinem oſtenderit.

320. Diſtinguendum :

Μὴ τῶν τυράννων, Εὐρύτου σπορὰ, τὶς ἦν;

i. e. μὴ τῶν τυράννων τις ἦν, Εὐρύτου σπορά;

327. *διοίσει γλῶσσαν, edet* vel *dilet vocem.* Heſychius: γλῶσσαι, φωναί. Conf. Antig. 974.

331. *διήνεμον, ventis perflatam,* i. e. deſertam, ut bene interpretatur Scholiaſtes.

Οὕτως ὅπως ἥδιστα, μηδὲ πρὸς κακοῖς
Τοῖς οὖσι λύπην πρός γ᾽ ἐμοῦ λύπης λάβοι·
Ἅλις γὰρ ἡ παροῦσα· πρὸς δὲ δώματα
Χωρῶμεν ἤδη πάντες· ὡς σύ θ᾽ οἷ θέλεις
Σπεύδῃς, ἐγώ τε τἄνδον ἐξαρκῆ τιθῶ.

ΑΓΓΕΛΟΣ, ΔΗΙΑΝΕΙΡΑ, ΧΟΡΟΣ.

Αγ. Αὐτοῦ γε πρῶτον βαιὸν ἀμμείνασ᾽, ὅπως
Μάθῃς ἄνευ τῶνδ᾽, οὕς τινάς γ᾽ ἄγεις ἔσω,
Ὧν τ᾽ οὐδὲν εἰσήκουσας, ἐκμάθῃς ἃ δεῖ.
Τούτων ἔχω γὰρ πάντ᾽ ἐπιστήμην ἐγώ.
Δη. Τί δ᾽ ἐστὶ τοῦ με τήνδ᾽ ἐφίστασαι βάσιν;
Αγ. Σταθεῖσ᾽ ἄκουσον· καὶ γὰρ οὐδὲ τὸν πάρος
Μῦθον μάτην ἤκουσας, οὐδὲ νῦν δοκῶ.
Δη. Πότερον ἐκείνους δῆτα δεῦρ᾽ αὖθις πάλιν
Καλῶμεν, ἢ μοὶ ταῖσδέ τ᾽ ἐξειπεῖν θέλεις;
Αγ. Σοὶ ταῖσδέ τ᾽ οὐδὲν εἴργεται· τούτους δ᾽ ἔα.
Δη. Καὶ δὴ βεβᾶσι, χὠ λόγος σημαινέτω.

337. σύ θ᾽] σύ γ᾽ Br.
338. ἐγώ τε] ἐγὼ δὲ Ald. Br.
339. ἀμμείνασ᾽] ἐμμείνασ᾽ Ald. Br.
341. ἐκμάθῃς] ἐκμάθῃς γ᾽ Ald. Br.

335. λύπην—λύπης. Comparari poſſet κακὰ κακῶν, Œd. Col. 1302. ubi aliud. Verum hic λύπην λύπης interpreter potius *ægritudinem ægritudini ſuperinductam.*

342. ἔχω γὰρ πάντ᾽ ἐπιστήμην. Vide ad Œd. Col. 1212.

343. τοῦ. Subaudiendum χάριν vel ἕνεκα. Vid. ad Philoct. 198. Ibid. ἐφίστασαι, ſenſu activo, ut ἐξίσταμαι, Antig. 1117. De duplici accuſativo (μὲ et βάσιν) conf. notata ſupra ad v. 49. Quibus adde Pindari illud οὐδέ μιν φόβος—ἔπαυσεν ἀλκὰν φρενῶν, Nem. iii. epod. 2. Βάσις eſt Deianiræ ipſius inceſſus, quem ἐφίστατο *inhibuit* hic Trachinis incola.

Αγ. Ἀνὴρ ὅδ᾽ οὐδὲν, ὧν ἔλεξεν ἀρτίως,
Φωνεῖ δίκης ἐς ὀρθόν· ἀλλ᾽ ἢ νῦν κακὸς,
Ἢ πρόσθεν οὐ δίκαιος ἄγγελος παρῆν.
Δη. Τί φῄς; σαφῶς μοι φράζε πᾶν ὅσον νοεῖς.
Ἃ μὲν γὰρ ἐξείρηκας, ἄγνοιά μ᾽ ἔχει.
Αγ. Τούτου λέγοντος τἀνδρὸς εἰσήκουσ᾽ ἐγὼ,
Πολλῶν παρόντων μαρτύρων, ὡς τῆς κόρης
Ταύτης ἕκατι κεῖνος Εὔρυτόν θ᾽ ἕλοι,
Τήν θ᾽ ὑψίπυργον Οἰχαλίαν· Ἔρως δέ νιν
Μόνος θεῶν θέλξειεν αἰχμάσαι τάδε·
Οὐ τἀπὶ Λυδοῖς, οὐδ᾽ ἐπ᾽ Ὀμφάλῃ πόνων
Λατρεύματ᾽, οὐδ᾽ ὁ ῥιπτὸς Ἰφίτου μόρος·
Ὃν νῦν παρώσας οὗτος, ἔμπαλιν λέγει.
Ἀλλ᾽ ἡνίκ᾽ οὐκ ἔπειθε τὸν φυτοσπόρον
Τὴν παῖδα δοῦναι, κρύφιον ὡς ἔχοι λέχος,
Ἔγκλημα μικρὸν αἰτίαν θ᾽ ἑτοιμάσας,
Ἐπιστρατεύει πατρίδα τὴν ταύτης· ἐν ᾗ

351. φωνεῖ] φωνῇ F. 1.

351. δίκης ἐς ὀρθὸν, *ſecundum rectum* (i. e. rectitudinem) *probitatis.* Ἐς pro κατὰ, ut in exemplis citatis ad Eurip. Iph. Taur. 1483. Helen. 913. Ὀρθὸν δίκης, ut κακῷ χειμῶνος, Aj. 1163.

359. αἰχμάσαι. Heſychius: αἰχμάζει, πολεμεῖ· αἰχμάσας, πολεμήσας. Αἰχμάσαι τάδε fuerit ergo *bellum hoc gerere.*

360. πόνων λατρεύματ᾽, *laborum ſervitutem,* i. e. ſerviles labores.

362. παρώσας, *repudians, rejiciens.* Nondum tamen ſatis perſpicua eſt oratio, niſi ſimul appareat *quando* vel *ubi* hanc de Euryto narrationem rejecerit. Legendum forte,

Ὃν νῦν, παρώσας αὐτόθ᾽, ἔμπαλιν λέγει.

Αὐτόθι, *illic,* in foro ſc. Trachiniorum.

Τὸν Εὔρυτον τῶνδ᾽ εἶπε δεσπόζειν θρόνων·
Κτείνει τ᾽ ἄνακτα πατέρα τῆσδε, καὶ πόλιν
Ἔπερσε· καὶ νῦν (ὡς ὁρᾷς) ἥκει δόμους
Ὡς τούσδε πέμπων, οὐκ ἀφροντίστως, γύναι,
Οὐδ᾽ ὥστε δούλην· μηδὲ προσδόκα τάδε.
Οὐδ᾽ εἰκὸς, εἴπερ ἐντεθέρμανται πόθῳ.
Ἔδοξεν οὖν μοι πρὸς σὲ δηλῶσαι τὸ πᾶν,
Δέσποιν᾽, ὃ τοῦδε τυγχάνω μαθὼν πάρα.
Καὶ ταῦτα πολλοὶ πρὸς μέσῃ Τραχινίων
Ἀγορᾷ συνεξήκουον ὡσαύτως ἐμοὶ,
Ὥστ᾽ ἐξελέγχειν· εἰ δὲ μὴ λέγω φίλα,
Οὐχ ἥδομαι, τὸ δ᾽ ὀρθὸν ἐξείρηχ᾽ ὅμως.
Δη. Οἴ μοι τάλαινα, ποῦ ποτ᾽ εἰμὶ πράγματος;
Τίν᾽ εἰσδέδεγμαι πημονὴν ὑπόστεγον,
Λαθραῖον; ὦ δύστηνος, ἆρ᾽ ἀνώνυμος
Πέφυκεν, ὥσπερ οὐπάγων διώμνυτο;
Ἦ καὶ τὰ λαμπρὰ καὶ κατ᾽ ὄμμα καὶ φύσιν;

367. τὸν Εὔρυτον τῶνδ᾽] τῶν Εὐρύτου τῶνδ᾽ Ald. τὸν Εὔρυτον τόνδ᾽ Br. e cod. B.
369. νῦν] νιν Br.
370. ὡς τούσδε] ὡς τάσδε Turneb. ἐς τούσδε Br.
371. τάδε] τόδε Ald.
383. ἢ καὶ τὰ] ἢ κάρτα Br. ex Canteri emendatione. Ἀγγέλῳ autem hunc v. tribuit Ald.

367. τὸν Εὔρυτον τῶνδ᾽. Lego τὸν Εὔρυτον τόνδ᾽, *huncce Eurytum*, i. e. hunc a Licha decantatum.

377. ὥστ᾽ ἐξελέγχειν, *adeo ut indagando veritatem assequaris.*

383. ἢ καὶ τὰ λαμπρά. Hunc versum Nuncio assignat Scholiastes, sed ut intelligas eum libros veteres non habuisse suffragantes. Essetque sane ineptum Ioles ὄμμα, i. e. pulchritudinem a tali homine coram Deianira commemorari. Sed vel ex ejus responso videas, nihil ei ab initio avulsum esse. Canterus pro καὶ τὰ emendat κάρτα, versumque a Choro enunciari facit, sed categorice, non

Αγ. Πατρὸς μὲν ἦσα γένεσιν Εὐρύτου ποτὲ
Ἰόλη 'καλεῖτο· τῆς ἐκεῖνος οὐδαμὰ
Βλάστας ἐφώνει δῆθεν οὐδὲν ἱστορῶν.
Χο. Ὄλοιντο μή τοι πάντες οἱ κακοὶ, τὰ δὲ
Λαθραῖ' ὃς ἀσκεῖ μὴ πρέπονθ' αὑτῷ κακά.
Δη. Τί χρὴ ποιεῖν, γυναῖκες; ὡς ἐγὼ λόγοις
Τοῖς νῦν παροῦσιν ἐκπεπληγμένη κυρῶ.
Χο. Πεύθου μολοῦσα τἀνδρός· ὡς τάχ' ἂν σαφῆ
Λέξειεν, εἴ μιν πρὸς βίαν κρίνειν θέλοις.
Δη. Ἀλλ' εἶμι· καὶ γὰρ οὐκ ἀπὸ γνώμης λέγεις.
Χο. Ἡμεῖς δὲ προσμένωμεν; ἢ τί χρὴ ποιεῖν;

387. μή τοι] μή τι Ald. Br. Hunc et verſ. ſeq. Ἀγγέλῳ tribuit Turn.
388. πρέπονθ' αὑτῷ] πρέποντ' αὐτῷ Ald. Turneb. Br.
392. μιν] νιν Br.
394. Deianiræ hunc v. tribuit Ald. Choro duo ſeqq.

interrogative. *Omnino eximia eſt et forma et indole.* Neque hæc exclamatio, coram Deianira edita, ſatis decora mihi videtur. Sed neque φύσιν hoc in loco *indolem* interpreter, ſed *genus, proſapiam*; quoniam de hoc agebatur, non de indole. Agamemnon apud Noſtrum, Aj. 1276. Teucro νοθείαν exprobrans:

οὐ μαθὼν ὃς εἶ φύσιν
Ἄλλον τίν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον;

Rem acu tetigiſſe videtur vetus quidam in Scholiis grammaticus, qui ſic interpretatur, ἀντὶ τοῦ, ἆρα τῇ θέᾳ καὶ τὸ γένος ἐφάμιλλον, *num formæ ejus claritudo generis reſpondet?* Sed hic ſenſus ut efficiatur, legendum interrogative;

Ἦ πάντα λαμπρὰ καὶ κατ' ὄμμα καὶ φύσιν;

Λαμπρὰ, *clara, inſignis,* nominativo ſingulari.

386. ἱστορῶν. Lego ἱστορεῖν. Non enim tacuerat tantum de natalibus ejus Lichas, quæ vulgatæ vis eſt, ſed nihil ſe ſcire affirmaverat.

393. ἀπὸ γνώμης, *abſque prudentia, imprudenter.* Sic ἀπὸ τρόπου valet *maligne.* Thucyd. i. 76. ἀπὸ τοῦ ἀνθρωπείου τρόπου.

Δη. Μίμν', ὡς ὅδ' ἀνὴρ, οὐκ ἐμῶν ὑπ' ἀγγέλων,
Ἀλλ' αὐτόκλητος ἐκ δόμων πορεύεται.

ΛΙΧΑΣ, ΔΗΙΑΝΕΙΡΑ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ.

Λι. Τί χρὴ, γύναι, μολόντα μ' Ἡρακλεῖ λέγειν,
Δίδαξον· ὡς ἕρποντος εἰσορᾷς ἐμοῦ.
Δη. Ὡς ἐκ ταχείας σὺν χρόνῳ βραδεῖ μολὼν
Αἴσσεις, πρὶν ἡμᾶς καὶ νεώσασθαι λόγους.
Λι. Ἀλλ' εἴ τι χρήζεις ἱστορεῖν, πάρειμ' ἐγώ.
Δη. Ἦ καὶ τὸ πιστὸν τῆς ἀληθείας νέμεις;
Λι. Ἴστω μέγας Ζεὺς, ὧν γ' ἂν ἐξειδὼς κυρῶ.
Δη. Τίς ἡ γυνὴ δῆτ' ἐστὶν, ἣν ἥκεις ἄγων;
Λι. Εὐβοΐς· ὧν δ' ἔβλαστεν, οὐκ ἔχω λέγειν.
Δη. Οὗτος, βλέφ' ὧδε· πρὸς τίν' ἐννέπειν δοκεῖς;
Λι. Σὺ δ' εἰς τί δή με τοῦτ' ἐρωτήσασ' ἔχεις;

395. ὅδ' ἀνὴρ] ἀνὴρ ὅδ' Br.
397. μολόντα] μολοῦντα Ald.
399. ταχείας] τραχείας Ald. Turneb.
400. αἴσσεις] ᾄσσεις Br.
Ibid. καὶ νεώσασθαι] ἀνανεώσασθαι Br. ex Canteri emendatione.
Οἴκτου δι᾽ οἴκων ἀρτίως ὁρμωμένου;

868. Ἡρακλέ᾽ ἐπέμολε] Ἡρακλέους ἀπέμολε Ald. Ἡρακλέα ᾽πέμολεν Br.
869. τοῦ deeſt Ald. Br.
876. Χο. Huic verſui ut et 879. 881. Ἡμίχορον præfigit Br.

Ὥςε ante οἰκτίσαι in quibuſdam exemplaribus legi teſtatur, qui tamen non recipiendum cenſet, H. Stephanus. Mihi non otioſa particula iſta videtur, hac utique ſyntaxi: κέχυται νόσος ὥςε οἰκτίσαι, οἷον πάθος [ἀπ᾽] ἀναρσίων οὔπω ἐπέμολε ἀγακλειτὸν Ἡρακλέα. *Diffudit ſe vel increvit clades ut jam plane miſereſcere debeamus, quale quidem malum nondum ab hoſtibus inclytum Herculem invaſit*, i. e. nondum Herculi contigit ut miſerandus eſſet.

870. θοάν. Malim, θοᾷ, i. e. αἰχμᾷ, *forti haſta*. Sic θοὸς πολεμιςὴς, Iliad. Ε. 571. et Ο. 585. θοὸς μάχεσθαι, Ε. 536. θοὸν ξίφος, Anthol. p. 35. Venuſtam puellam qui θοὰν diceret, nondum inveni.

873. ἁ δ᾽ ἀμφίπολος. An legendum ἇς ἀμφίπολος, *cujus* [Ioles] *muta miniſtra Venus*. Veneri nempe, Iolen tacite comitanti, idem officium tribuere videtur, quod Decori Tibullus, iv. ii. 8.

Illam quicquid agit, quoquo veſtigia movit,
Componit furtim, ſubſequiturque Decor.

Libanius, vol. i. p. 583. αἱ Χάριτες αὐτῇ διακονοῦσι.

Τί φημί;
Ἠχεῖ τις οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ
Κωκυτὸν εἴσω, καί τι καινίζει στέγη.
Ξύνες δὲ
Τήνδ᾽, ὡς ἀήθης καὶ συνωφρυωμένη
Χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά τι.

Τρ. Ὦ παῖδες, ὡς ἄρ᾽ ἡμὶν οὐ σμικρῶν κακῶν
Ἦρξεν τὸ δῶρον, Ἡρακλεῖ τὸ πόμπιμον.

Χο. Τί δ᾽, ὦ γεραιὰ, καινοποιηθὲν λέγεις;

Τρ. Βέβηκε Δηϊάνειρα τὴν πανυστάτην
Ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός.

Χο. Οὐ δήποθ᾽ ὡς θανοῦσα;

Τρ. Πάντ᾽ ἀκήκοας.

Χο. Τέθνηκεν ἡ τάλαινα;

Τρ. Δεύτερον κλύεις.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Τάλαιν᾽, ὀλεθρία, τίνι τρόπῳ θανεῖν σφε φῄς;

Τρ. Σχετλιώτατα πρός γε πρᾶξιν.

Χο. Εἰπὲ τῷ μόρῳ, γύναι, ξυντρέχει.

Τρ. Αὐτὴν διηΐστωσε.

882. συνωφρυωμένη] ξυνωφρυωμένη Br. 893. σφὲ] σφὶν Ald.
883. σημανοῦσα] σημαίνουσα Ald.

880. καινίζει στέγη. Eurip. εὐχὰς ἐκαίνισας, Troad. 895. vid. et Æſchyl. Choeph. 490.

888. ἐξ ἀκινήτου ποδός. Pro ἀκινήτῳ ποδί. Sic ἐξ ἑνὸς ποδὸς—χειρώσεται, Philoct. 92. Vid. et ad Aj. 27.

893. τάλαιν᾽, ὀλεθρία. Sic diſtinguo, ut ὀλεθρία adverbialiter accipiatur pro ὀλεθρίως.

Χο. Τίς θυμὸς, ἢ τίνες νόσοι;
Τρ. Τάνδ' αἰχμὰ βέλεος κακοῦ
Ξυνεῖλε.
Χο. Πῶς ἐμήσατο
Πρὸς θανάτῳ θάνατον
Ἀνύσασα μόνα;
Τρ. Στονόεντος ἐντομᾷ σιδήρου.
Χο. Ἐπεῖδες, ὦ ματαία, τάνδ' ὕβριν;
Τρ. Ἐπεῖδον, ὡς δὴ πλησία παραστάτις.
Χο. Τίς ἦν; πῶς; φέρ' εἰπέ.
Τρ. Αὐτὴ πρὸς αὐτῆς χειροποιεῖται τάδε.
Χο. Τί φωνεῖς;
Τρ. Σαφηνῆ.
Χο. Ἔτεκεν, ἔτεκεν μεγάλαν
Ἁ νέορτος ἅδε νύμφα
Δόμοισι τοῖσδ' ἐριννύν.

Ἴαμβοι.

Τρ. Ἄγαν γε· μᾶλλον δ' εἰ παροῦσα πλησία

898. τάνδ'—ξυνεῖλε.] Choro hæc continuat Ald.
Ibid. αἰχμὰ] αἰχμὰν Ald. αἰχμὰν βέλος Turneb. in marg.
903. ἐντομᾷ] ἐν τομᾷ Ald. Br.
911. ἁ νέορτος] ἀνέορτος Ald. Turneb. in textu.

901. πρὸς θανάτῳ, *præter cædem* Herculis. Eum utique Hyllus ut jam moribundum nunciaverat, v. 753.

903. ἐντομᾷ. Nisi ἐντέμνειν in hujusmodi rebus alibi adhibitum fuerit, quod nondum comperi, non ineptum foret ἐν τομᾷ. Sic enim abundat præpositio ἐν in ἐν λιταῖς, Philoct. 61. ἐν δόλῳ, ibid. 103. ἐν λόγοις, ibid. 1433. ἐν βέλει, Anthol. p. 54.

911. Ἁ νέορτος. Vulgo, ἀνέορτος, quod H. Stephano multo elegantius videtur, mihi non item. Νέορτος, *novus*, legitur Œd. Col. 1577.

Ἔλευσας οἷ᾽ ἔδρασε, κἄρτ᾽ ἂν ᾤκτισας.
Χο. Καὶ ταῦτ᾽ ἔτλη τις χεὶρ γυναικεία κτίσαι;
Τρ. Δεινῶς γε· πεύσῃ δ᾽, ὥστε μαρτυρεῖν ἐμοί.
Ἐπεὶ παρῆλθε δωμάτων εἴσω μόνη,
Καὶ παῖδ᾽ ἐν αὐλαῖς εἶδε κοινὰ δέμνια
Στρωννύνθ᾽, ὅπως ἄψορρον ἀντῴη πατρὶ,
Κρύψασ᾽ ἑαυτὴν ἔνθα μήτις εἰσίδοι,
Βρυχᾶτο μὲν βωμοῖσι προσπίπτουσ᾽, ὅτι
Γένοιτ᾽ ἐρήμη, κλαῖε δ᾽ ὀργάνων ὅτου
Ψαύσειεν, οἷς ἐχρῆτο δειλαία πάρος·
Ἄλλῃ δὲ κἄλλῃ δωμάτων στρωφωμένη,
Εἴπου φίλων βλέψειεν οἰκετῶν δέμας,
Ἔκλαιεν ἡ δύστηνος εἰσορωμένη,
Αὐτὴ τὸν αὐτῆς δαίμον᾽ ἀνακαλουμένη,
Καὶ τὰς ἄπαιδας ἐς τολοιπὸν οὐσίας.

914. ἔλευσας] ἐλεύσσες Ald. Br.
915. ἔτλη τις χεὶρ] ἔτλη χεὶρ Turneb.
918. κοινὰ] κοῖλα Ald. Turn. Br.
919. στρωννύνθ᾽] στορνύνθ᾽ Ald. Br. στροννύνθ᾽ Turneb.
Ibid. ἀντῴη] ἀντοίη Ald.
925. εἴπου] εἴ του Turn. in calce edit.
927. τὸν] πρὸς Ald.
Ibid. δαίμον᾽ ἀνακαλουμένη] δαίμονα καλουμένη Ald.

915. ἔτλη τις χείρ. Ita ed. Ald. et Scholiaſtes. Vulgo deeſt τίς.

918. κοινὰ δέμνια. Veterem hanc ſcripturam Scholiaſtæ debemus. Vulgo, κοῖλα, quod non intelligo: κοινὰ interpretandum *quæ Herculi et Deianiræ communia eſſe ſolebant.* Unde non mirum, ſi tale ſpectaculum lacrymarum ipſi plenum rivum eliceret. Alioqui non male legas εἶδεν οὖλα δέμνια.

921. βωμοῖσι, *aris.* ſc. quæ intus in ædibus erant. Euripides, Alceſt. 168. πάντας δὲ βωμοὺς, οἱ κατ᾽ Ἀδμήτου δόμους. Socrates οἴκοι ἔθυε, Xenoph. Mem. i. in princip. Cephalus apud Platon. de Repub. i. (in initio) *domi ſacrificaverat.*

923. οἷς ἐχρῆτο δειλαία πάρος. Puto, quibus in fatali illa tunica texenda uſa fuerat. Tentaveram quoque, οἷς κέκρεκτο δειλαίᾳ φάρος.

928. τὰς ἄπαιδας ἐς τολοιπὸν οὐσίας. Poſtremam hanc vocem ma-

Ἐπεὶ δὲ τῶνδ᾽ ἔληξεν, ἐξαίφνης σφ᾽ ὁρῶ
Τὸν Ἡράκλειον θάλαμον εἰσορμωμένην.
Κἀγὼ λαθραῖον ὄμμ᾽ ἐπεσκιασμένη
Φρούρουν· ὁρῶ δὲ τὴν γυναῖκα δεμνίοις
Τοῖς Ἡρακλείοις στρωτὰ βάλλουσαν φάρη.
Ὅπως δ᾽ ἐτέλεσε τοῦτ᾽, ἐπενθοροῦσ᾽ ἄνω,
Καθέζετ᾽ ἐν μέσοισιν εὐναστηρίοις·
Καὶ δακρύων ῥήξασα θερμὰ νάματα,
Ἔλεξεν, Ὦ λέχη τε καὶ νυμφεῖ᾽ ἐμὰ,
Τολοιπὸν ἤδη χαίρεθ᾽, ὡς ἔμ᾽ οὔποτε
Δέξεσθ᾽ ἔτ᾽ ἐν κοίταισι ταῖσδ᾽ εὐνήτριαν.
Τοσαῦτα φωνήσασα, συντόνῳ χερὶ
Λύει τὸν αὑτῆς πέπλον, ᾧ χρυσήλατος
Προὔκειτο μαστῶν περονίς· ἐκ δ᾽ ἐλώπισε

939. εὐνήτριαν] εὐνήστριαν Ald.

lim interpretari *vitam*, quam ut Scholiastes, *concubitum*. Verum quem hic locum habet ἄπαιδας? An enim, interempto Hercule, Deianiram, tot liberis florentem, v. 54. omnibus continuo privari necesse erat? Legendum forte ἀπαυδεῖς, *ab omnium colloquio sejunctas*. Qui enim piaculo inquinati erant, a nemine compellari sinebat lex. Eurip. Orest. 47. et 428. Œd. Tyr. 1458. Ἀπαυδεῖς, ut ἀπότιμος pro ἄτιμος, Œd. Tyr. 223. Nec suspecta esse debet terminatio: sic enim ἀναυδεῖς habet (præter lexica) Epicrates apud Athenæum, p. 59. Nonnus, lib. iii. 229. ἀναυδέες ὀπωπαί. Vel, ἀμειδεῖς, quod illustrat Grævius ad Hesiod. Op. et D. 508.

935. ἐν μέσοισιν εὐναστηρίοις. Dido pariter in lecto nuptiali mortem sibi infert, Æneid. iv. 650.

936. ῥήξασα—νάματα. Sic Dioscorides, Anthol. p. 202. δάκρυα δ᾽ οὐκ ἔῤῥηξ᾽. Incertus, ibid. p. 270. ἔῤῥηξαν μοῦσαι δάκρυα. Eurip. Troad. 757. πνεῦμ᾽ ἀποῤῥήξεις. Iph. Taur. 981. βίον ἀποῤῥήξειν.

942. ἐκ δ᾽ ἐλώπισε. Hesychius; ἐξελώπισε,—ἐξεσκύλευσεν, ἐξέδυσεν.

Πλευρὰν ἅπασαν, ὠλένην τ' εὐώνυμον.
Κἀγὼ δρομαία βᾶσ' ὅσον περ ἔσθενον,
Τῷ παιδὶ φράζω τῆς τεχνωμένης τάδε.
Κἂν ᾧ τὸ κεῖσε δεῦρό τ' ἐξορμώμεθα,
Ὁρῶμεν αὐτὴν ἀμφιπλῆγι φασγάνῳ
Πλευρὰν ὑφ' ἧπαρ καὶ φρένας πεπληγμένην.
Ἰδὼν δ' ὁ παῖς ᾤμωξεν· ἔγνω γὰρ τάλας
Τοὔργον κατ' ὀργὴν ὡς ἐφάψειεν τόδε,
Ὄψ' ἐκδιδαχθεὶς τῶν κατ' οἶκον, οὕνεκα
Ἄκουσα πρὸς τοῦ θηρὸς ἔρξειεν τάδε.
Κἀνταῦθ' ὁ παῖς δύστηνος οὔτ' ὀδυρμάτων
Ἐλείπετ' οὐδὲν ἀμφί νιν γοώμενος,
Οὔτ' ἀμφιπίπτων στόμασιν, ἀλλὰ πλευρόθεν
Πλευρὰν παρεὶς, ἔκειτο πόλλ' ἀναστένων,
Ὥς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ·
Κλαίων ὁθ' οὕνεκ' ἐκ δυοῖν ἔσοιθ' ἅμα,
Πατρός τ' ἐκείνης τ', ὠρφανισμένος βίου.
Τοιαῦτα τἀνθάδ' ἐστίν· ὥστ' εἴτις δύο
Ἢ καὶ πλέους τις ἡμέρας λογίζεται,
Μάταιός ἐστιν· οὐ γάρ ἐσθ' ἥ γ' αὔριον,
Πρὶν εὖ πάθῃ τις τὴν παροῦσαν ἡμέραν.

958. δυοῖν] δυεῖν Br. e cod. B.
961. πλέους] πλείους ed. Steph.
960. εἴτις] εἴπερ Turneb. in marg.

945. τῆς τεχνωμένης. Regi putem non a παιδὶ, quod facile aliquis suspicetur, sed omnino a φράζω. Vide supra ad v. 398.

948. πεπληγμένην. Pro πεπληγυῖαν. Passivum pro activo.

950. ἐφάψειεν. Pro ἐφάπτοιτο, *reprehenderit*. Activum vix alibi hac potestate invenias. Sed amat insolentissima quæque Sophocles, in quibus et verba obsoleta. Vid. ad Œd. Col. 132.

957. αἰτίᾳ βάλοι. Confer Œd. Tyr. 670.

ΧΟΡΟΣ.

Σύστημα.

Χο. Πότερα πότερ' ἂν ἐπιστένω;
Πότερα τέλεα περαιτέρω,
Δύσκριτ' ἔμοιγε δυστάνῳ.
Τάδε μὲν ἔχομεν ὁρᾷν δόμοις,
Τάδε δὲ μέλλομεν ἐπ' ἐλπίσι.
Κοινὰ δ' ἔχειν τε καὶ μέλλειν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Εἴθ' ἀνεμόεσσά τις
Γένοιτ' ἔπουρος ἑστιῶτις αὔρα,

964. Πότερα πότερ' ἂν] πότερ' ἂν πότερα Ald. πότερα πρότερ' Turneb. πότερα πρότερ' ἂν Br.

968. ἐλπίσι] ἐλπίσιν Ald.

965. τέλεα. Cum κακὸν ut epithetum conjungit Plutarchus in Craſſo, p. 555. D. πάντων ὅσα συνήνεγκεν εἰς ὄλεθρον ἡ τύχη κακὰ—τελεώτατον γενόμενος. Nec abſurde Mudgius a τέλος deducit, quod Suidas per πρᾶξιν exponit, Etymologus per πρᾶγμα. Si neutrum placuerit, in promptu erit legere μέλεα.

968. μέλλομεν, *cogitamus*. Vid. ad Œd. Col. 1706.

969. κοινὰ, i. e. ἴσα, *æqualia*. Vid. ad Antig. 151.

970. Εἴθ' ἀνεμόεσσά τις. Similia miſerorum vota pluribus in locis tragicorum invenias. Confer Æſchyl. Supp. 786. Eurip. Hippol. 739. Ion. 809. denique Homeri Odyſſ. Υ. 63.

971. ἔπουρος. Scholiaſtes interpretatur οὔριος, quæ quidem notio loco optime convenit; voci an conveniat, non item conſtat. Contrarium ſuſpiceris ex Clementis Alexandrini illo: μόνῳ δὲ ἄρα τῷ ἀληθείας πνεύματι ἔπουρος ἀρθεὶς, Pædagog. lib. i. 7. p. 130. Ubi

Ἥτις μ' ἀποικίσειεν ἐκ τόπων, ὅπως
Τὸν Ζηνὸς ἄλκιμον γόνον
Μὴ ταρβαλέα θάνοιμι
Μοῦνον εἰσιδοῦσ' ἄφαρ.
Ἐπεὶ ἐν δυσαπαλλάκτοις ὀδύναις
Χωρεῖν πρὸ δόμων λέγουσιν
Ἄσπετόν τι θαῦμα.

973. Ζηνὸς] Διὸς Ald.

977. πρὸ δόμων] πρὸ δῶμα Turneb. πρὸς δόμον Br. ex Heathii emendatione: ſed et πρὸς dant codices B. T.

navita, non ventus, ἔπουρος dicitur. Sed turbant in ſimilibus poetæ. Virgilius, *rigui—amnes*, licet proprie *agri*, non amnes, *rigui* ſint. Si alias voces in ουρος deſinentes conferre libuerit, vid. Œd. Tyr. 203. et ibi citata, Philoct. 701. Æſchyl. Agam. 504.

Ibid. ἐσωῶτις αὖρα, *ventus e terræ ſinu editus*, quales a Theophraſto lib. de Ventis ἀπόγειαι αὖραι vocantur. Seneca, Natural. Quæſt. lib. v. 4. *Alias terra ipſa magnam vim aëris ejicit, et ex abdito ſpirat; alias immutatio ipſa halitus mixti in ventum vertitur.* Meminit et Apuleius de Mundo, p. 719. ed. Delph. Ἀπόγειον πνεῦμα habet et Ariſtoteles, Meteor. lib. ii. 5.

974. θάνοιμι. Eurip. Hecub. 246. ὥστ' ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.

975. μοῦνον εἰσιδοῦσ', *videns duntaxat*, ut μοῦνον adverbium ſit.

977. πρὸ δόμων. Interpretatur Heathius *in conſpectu ædium*; deinde ut viam emendationi muniat, negat Chorum id ab Hyllo vel alio quopiam inaudiviſſe. Verum πρὸ non ſemper *in conſpectu* ſignificat, ſed nonnunquam et *prope*, ut in exemplis allatis ad Antig. 1049. Herculem autem non longe ab ædibus abeſſe, tantum non dixerat Hyllus, v. 818. his nimirum verbis,

καί νιν αὐτίκα
Ἢ ζῶντ' ἐσόψεσθ', ἢ τεθνηκότ' ἀρτίως.

Jam ſi de metro ſolliciti ſumus, omnium expeditiſſimum fuerit legere vocibus tranſpoſitis δόμων πρό.

Ἀντιστροφή.

Ἀγχοῦ δ᾽ ἄρα κοὐ μακρὰν
Ἔκλαιον, ὀξύφωνος ὡς ἀηδών.
Ξένων γὰρ ἐξόμιλος ἥδε τις βάσις.
Πᾶς δ᾽ αὖ φορεῖ νιν, ὡς φίλου
Προσκηδομέναν, βαρεῖαν
Ἄψοφον φέρει βάσιν.

980. ἔκλαιον] προὔκλαιον Ald. Br.
Ibid. Ad finem hujuſce v. addit ξένοι Ald.

982. πᾶς] πᾷ Ald. Br.
983. προσκηδομέναν] προκηδομένα Ald. Br.

980. ἔκλαιον. Ed. Ald. προὔκλαιον, quod cur vulgatæ anteponatur, non video. Sed et ἔκλαιον mihi prima perſona ſingularis videtur, Heathio contra tertia pluralis.

Ibid. ὡς ἀηδών. Ed. Colin. ὡς ἀηδὼν ξένοι, ſervato etiam ξένων in initio verſus ſequentis. Sed illud additamentum non recipit metrum, etiam ſi pro ἀηδὼν diſſyllabum ἀδὼν cum Moſcho ſcripſeris Epitaph. Bion. 9. Nec ſententia tale quid poſtulat. Chorus enim ex lamentis ſatellitum Herculis recte colligere potuit, eos ξένους, i.e. peregrinos fuiſſe. Suidas, v. θρήνους—βαρβαρικὸν γάρ τὸ θρηνεῖν· ἐπὶ Πατρόκλου γοῦν οὐ γίνεται. Vide etiam notata ad Eurip. Oreſt. 1402.

981. ἐξόμιλος. Verbum ἐξομιλεῖν Græcis valet *comitari, ſtipare ſatellitio, blande et officioſe cum aliquo verſari.* Plutarchus in Alcibiade, p. 193. C. ἀποκλειόμενος ὑπὸ τῶν πρὸς χάριν ἐξομιλούντων εἰσακοῦσαι τοῦ νουθετοῦντος. Idem in Cimone, p. 482. A. ὑπολαμβάνων πράως τοὺς ἀδικουμένους καὶ φιλανθρώπως ἐξομιλῶν. Idem in Præcept. Polit. p. 824. τὸ μᾶλλον οἰόμενον ἀδικεῖσθαι μέρος ἐξομιλοῦντα πρότερον καὶ συναδικεῖσθαι δοκοῦντα. Euripides, Iph. Aul. 740. οὐ καλὸν ἐν ὄχλῳ σ᾽ ἐξομιλεῖσθαι στρατοῦ. Syneſius, epiſt. 57. ad finem, τὰ δύστηνα ταῦτα ἀνθρώπια ὑπὲρ ὑμῶν ἐξομιλεῖν καὶ μεταχειρίζεσθαι. Hinc βάσις ἐξόμιλος ξένων fuerit *greſſus peregrinorum* Herculem *ex more ſtipantium.*

982. πᾶς δ᾽ αὖ φορεῖ νιν. Ed. Ald. πᾷ δ᾽ αὖ φορεῖ νιν. Mihi verum videtur πᾶς δ᾽ ὃς φορεῖ νιν, ὡς φίλου—*omnes autem qui ei geſtando operam dant,* lente, tanquam ipſi proſpicientes, veſtigia ponunt.

Αἶ, αἶ, αἶ, αἶ· ὅδ' ἄναυδος φέρεται.
Τί χρή, θανόντα νιν, ἢ κα-
θ' ὕπνον ὄντα, κρῖναι;

ΥΛΛΟΣ, ΠΡΕΣΒΥΣ, ΗΡΑΚΛΗΣ, ΧΟΡΟΣ.

Ἀνάπαιστοι.

Υλ. Ὦ μοι ἐγὼ σοῦ, πάτερ,
Ὦ μοι ἐγὼ σοῦ μέλεος.
Τί πάθω; τί δὲ μήσομαι; οἴ μοι.
Πρ. Σίγα, τέκνον, μὴ κινήσῃς
Ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος.
Ζῇ γὰρ προπετής· ἀλλ' ἴσχε δακὼν
Στόμα σόν.

985. αἶ ter Br.

985. αἶ. Si ter tantum hanc interjectionem, productam tamen, posueris, existet versus anapæsticus integer, qualis est in stropha :

Αἶ, αἶ, αἶ, ὅδ' ἄναυδος φέρεται.

988. Versus sequentes sic cum Heathio dispertiendi :

Ὦ μοι ἐγὼ σοῦ, πάτερ, ὤ μοι ἐγὼ
Σοῦ μέλεος· τί πάθω; τί δὲ μήσομαι;
Οἴ μοι.

Nisi malis in postremo οἴ μοι reduplicare.

993. προπετής, *in mortem vergens.* Eurip. Alcest. 931.

Ἤδη προπετὴς ὤν,
Βιότου τε πρόσω.

Eodem sensu προνωπὴς dixisse videtur, Alcest. 141.

Ibid. δακὼν στόμα σόν. Ad cohibendum sc. luctum. Theodectes apud Stobæum de Rer. Nat. c. xi. ἀλλ', ὦ τάλαν Θυέστα, καρτέρει δάκνων Ὀργῆς χαλινόν.

Τλ. Πῶς φῄς, ὦ γέρον; ἦ ζῇ;
Πρ. Οὐ μὴ 'ξεγείρῃς τὸν ὕπνῳ κάτοχον,
Κἀκκινήσῃς, κἀναστήσῃς
Φοιτάδα δεινὴν νόσον, ὦ τέκνον.
Τλ. Ἀλλ' ἐπί μοι μελέῳ
Βάρος ἄπλετον ἐμμέμονε φρήν.
Ηρ. Ὦ Ζεῦ, ποῖ γᾶς ἥκω; παρὰ τοῖ-
σι βροτῶν κεῖμαι πεπονημένος ἀ-
λήκτοις ὀδύναις; οἵ μοι ἐγὼ τλά-
μων· ἡ δ' αὖ μιαρὰ βρύκει· φεῦ.
Πρ. Ἆρ' ἐξῄδεις ὅσον ἦν κέρδος
Σιγῇ κεύθειν, καὶ μὴ σκεδάσαι

995. ὦ deest Ald. Br.
996. 'ξεγείρῃς] 'ξεγερεῖς Br. et mox κἀκκινήσεις, κἀναστήσεις.
1002. ἀλήκτοις] ἀλλήκτοις Ald. Br.
1003. οἵ μοι] οἵ μοι μοι Br.
1005. ἐξῄδεις] ἐξῄδης Ald. Br.

995. Hunc versum pro legitimo anapæstico haberi non sinit hians in fine vocalis. Deleto autem ὦ, parœmiacus fiet, cui talis hiatus non nocet.

Στόμα σόν. ΤΛ. πῶς φῄς, γέρον, ἦ ζῇ;

996. Legendum cum Dawesio, Miscell. Crit. p. 223.

Οὐ μὴ 'ξεγερεῖς τὸν ὕπνῳ κάτοχον
Κἀκκινήσεις, κἀναστήσεις.

Deinde sequentia sic distribuenda :

Φοιτάδα δεινὴν νόσον, ὦ τέκνον. ΤΛ. ἀλλ'
Ἐπί μοι μελέῳ
Βάρος ἄπλετον ἐμμέμονε φρήν.

1003. οἵ μοι ἐγώ. Si legeris οἵ 'γὼ τλάμων, proximus versus parœmiacus erit,

Ἡ δ' αὖ μιαρὰ βρύκει· φεῦ.

Tertium enim pedem nonnunquam spondæum esse diserte docet Hephæstion.

Τῶνδ' ἀπὸ κρατὸς βλεφάρων θ' ὕπνον;
Υλ. Οὐ γὰρ ἔχω πῶς ἂν
Στέρξαιμι, κακὸν τόδε λεύσσων.
Ηρ. Ὦ Κηναία κρηπὶς βωμῶν
Ἱερῶν, οἵαν νῦν ἀνθ' οἵων
Θυμάτων ἐπί μοι μελέῳ χάριν ἠ-
νύσω· ὦ Ζεῦ,
Οἵαν μ' ἄρ' ἔθου λώβαν, οἵαν,
Ἣν μήποτ' ἐγὼ προσιδεῖν ὁ τάλας
Ὤφελον ὄσσοις, τόδ' ἀκήλητον
Μανίας ἄνθος καταδερχθῆναι.
Τίς γὰρ ἀοιδὸς, τίς ὁ χειροτέχνης
Ἰατορίας, ὃς τήνδ' ἄτην
Χωρὶς Ζηνὸς κατακηλήσει;
Θαῦμ' ἂν πόρρωθεν ἰδοίμαν· ἒ, ἒ,

1007. βλεφάρων θ'] καὶ βλεφάρων Br.
1009. στέρξαιμι] στέξαιμι Br. ex Valckenaerii emendatione.
1011. νῦν deest Ald. Br.
1012. θυμάτων] θυσιῶν Br.
Ibid. ἠνύσω] ἤνυσας Br.
1021. ἰδοίμαν] ἰδοίμην Ald. Br.

1007, 8. Hos versus sic secandos arbitror:

Τῶνδ' ἀπὸ κρατὸς
Βλεφάρων θ' ὕπνον. ΥΛ. οὐ γὰρ ἔχω πῶς ἄν.

1012. θυμάτων. Vox hoc in loco subfrigida, ne dicam cum metro pugnare. Lego igitur θειασμῶν. Hesychius: θειασμοῦ, εὐωχίας —θειασμοῖς, εὐωχίαις— Hoc autem recepto, versus sic secandus erit:

Θειασμῶν ἐπί μοι μελέῳ χάριν
Ἠνύσω· ὦ Ζεῦ.

1017. μανίας ἄνθος. Eleganter Valckenaerius ἀνίας ἄνθος, Diatrib. in fragm. Eurip. p. 179. Ad ἄνθος conferenda quæ citavi ad Antig. 972.

1021. θαῦμ' ἄν. Si vera est lectio, interpretandum *cum admira-*

Ἐᾶτέ με δύσμορον εὐνάσαι.
Ἐᾶτέ με δύστηνον εὐνάσαι.
Πᾶ μου ψαύεις; ποῖ κλίνεις;
Ἀπολεῖς μ᾽, ἀπολεῖς.
Ἀντέτροφας ὅ, τι καὶ μύσῃ.

Ἑξάμετροι.

Ἧπται μου νόσος· ἤδ᾽ αὖθ᾽ ἕρπει· ποῦ πόθεν ἐστ᾽, ὦ

1022. ἐᾶτέ με duplicant Ald. Br.
1023. Hunc verſum omittit Br. ex auctoritate cod. T.
1027. νόσος] τοῦτό τοι Ald. Br.
Ibid. ποῦ deeſt Ald. Br.

tione viderem, μετὰ θαυμασμοῦ ἰδοίμαν. Sed malim eodem ſenſu, θαύματι πόῤῥωθεν ἴδοιμ᾽ ἄν. Niſi dixerunt θαύμη ut χάρμη. Tum enim mallem θαύμᾳ πόῤῥωθεν ἴδοιμ᾽ ἄν. Plurima ſunt hujuſmodi apud Græcos: ſc. ἅρμη, ἅρμα· βρώμη, βρῶμα· γνώμη, γνῶμα· γραμμὴ, γράμμα· δέσμη, δέσμα· κωλύμη, κώλυμα· λύμη, λῦμα· μνήμη, μνῆμα· νυγμὴ, νύγμα· ξυσμὴ, ξύσμα· πλήμη, πλῆμα· ῥύμη, ῥῦμα· ῥώμη, ῥῶμα· στιγμὴ, στίγμα· τρώμη, τρῶμα· τυμμὴ, τύμμα· φήμη, φῆμα· [Heſych. φήματα, ῥήματα] χάσμη, χάσμα· χρήμη, χρῆμα.

1022. εὐνάσαι, *dormire.*

1023. Verſum hunc, qui præcedentis mera repetitio eſt, non inepte delendum cenſet Heathius, qui ex Camerariana legit:

Ἔατε μ᾽, ἐᾶτέ με δύσμορον εὐνάσαι.

Sed et Colinæi quoque ed. ἐᾶτέ με duplicat.

1026. ἀντέτροφας ὅ, τι καὶ μύσῃ, *quod connivebat, iterum excitaſti.* Proprie μύειν *connivere* valet, quo ſenſu de oculis dicitur, vel de ulceribus. Quia autem conniventia plerumque tranquilla ſunt, tranſlato ſenſu ſignificat etiam *quietum, indolentem eſſe.* Iſidorus, Anthol. p. 247. ἢ πνέοντες, ἢ μεμυκότες, ſc. venti.

1027. πόθεν ἐστ᾽. Camerarius πόθεν pro πόθι, *ubi,* accipit, quod ſic adhibitum eſſe negat Heathius. Mihi non diſpliceret πόθ᾽ ἔτ᾽ ἐστ᾽, i. e. πόθ᾽ ἔτι ἐστί.

Πάντων Ἑλλάνων ἀδικώτατοι ἀνέρες, ὃς δὴ
Πολλὰ μὲν ἐν πόντῳ, κατά τε δρία πάντα καθαίρων,
Ὠλεκόμαν ὁ τάλας; καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι
Οὐ πῦρ, οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἀποτρέψει.

1031. ἀποτρέψει] ἐπιτρέψει Br. ἀνστρέψει Turneb. in marg.

1028. πάντων Ἑλλάνων ἀδικώτατοι ἀνέρες. *Græcorum omnium injuſtiſſimi* deberent eſſe pars aliqua Græcorum, quos Hercules præ cæteris notandos cenſuit, ut beneficiorum immemores. An ergo unam tantum gentem, unum inter Græcos populum beneficiis obſtrinxerat, quem omnis antiquitas ut univerſi generis humani Soſpitatorem deprædicat? Imo ipſe hic Hercules ea facinora commemorat, quorum utilitas ad univerſum genus pertinebat:

Πολλὰ μὲν ἐν πόντῳ, κατά τε δρία πάντα καθαίρων.

An legendum ideo? Πάντων Τελχίνων ἀδικώτεροι ἀνέρες—*O homines quibuſvis Telchinibus injuſtiores.* De Telchinibus his vide loca ab interpretibus Heſychii citata. Non repugnem tamen, ſi quis malit ἀδικώτατοι retinere, ut ſit ſuperlativus pro comparativo. Vide quæ dedi ad Antig. 1062. et 1349.

Pro Ἑλλάνων dubitabam quoque annon legi poſſet ὀλλύρων, i. e. ἐλλέρων, *malorum, impiorum. O homines omnibus impiis injuſtiores, quos ego terra marique exterminans perii.* Vox ὀλλύρων extat apud Etymologum, v. ἔλλεροι. Proſodia eſt ut ὀϊζυρὸς, ἰσχυρός. Vel ἐρπηστῶν.

1029. πολλὰ μὲν, i. e. πολλάκις μέν. Conjungo autem cum ὠλεκόμαν, ut ſit πολλὰ ὠλεκόμαν, *ſæpe interibam*, i. e. ſæpe morti propinquus eram.

Ibid. καθαίρων. Cum ab hoc participio regatur οὓς, *quos* (*impios, ſceleſtos,*) oportet Græcos dixiſſe καθαίρειν λῃστὰς, ἀσεβεῖς, κακούργους, non minus quam καθαίρειν γῆν vel πόντον. Vel ſi hoc non tulerit Græcorum conſuetudo, in promptu fuerit legere mutato accentu καθαιρῶν. Arrianus, Indicis, p. 524. καθῄραντα ὅ, τι περ κακὸν κιναδος.

1031. ἀποτρέψει. Legendum forte ἀπορέξει, *protendet, porriget,* ut radix ſit ὀρέγω.

Ἒ, ἒ, οὐδ' ἀπαράξαι κρᾶτα
Βίου θέλει μολὼν
Τοῦ στυγεροῦ· φεῦ, φεῦ.
Πρ. Ὦ παῖ τοῦδ' ἀνδρὸς, τοὖργον τόδε μεῖζον ἀνήκει
Ἢ κατ' ἐμὰν ῥώμαν· σὺ δὲ σύλλαβε· σοί τε γὰρ ὄμμα
Ἔμπλεον ἢ δι' ἐμοῦ σώζειν.
Υλ. Ψαύω μὲν ἔγωγε.
Λαθίπονον δ' ὀδύναν οὔτ' ἔνδοθεν οὔτε θύραζ' ἔν-
εστί μοι ἐξανύσαι βιότου· τοιαῦτα νέμει Ζεύς.

Ἀνάπαιστοι.

Ηρ. Ὦ παῖ, παῖ, ποῦ ποτ' εἶ;
Τᾷδέ με, τᾷδέ με
Πρόσλαβε κουφίσας· ἒ, ἔ.
Ἰὼ, ἰὼ δαῖμον.
Θρώσκει δ' αὖ, θρώσκει

1039. θύραζ' ἔνεστι] θύραθεν, ἔστι Br. e cod. B.

1032. ἀπαράξαι κρᾶτα. Nicander, Theriac. 705. κεφαλῆς ἄπο θυμὸν ἀράξαι. Synesius de Provid. p. 81. τὴν κοπίδα σπασάμενος, ὡς ἀπαράξων τῆς ἀνθρώπου τὴν κεφαλήν.

1036. ὄμμα. An interpretandum *spes* ut supra, v. 206. an potius *prudentia?*

1037. σώζειν. Vel *sanitatem reddere* interpretari licet, vel simpliciter φυλάττειν, *custodire.*

1039. λαθίπονον. Noster, Aj. 720. ὅτ' Αἴας λαθίπονος πάλιν.

Pro ὀδύναν legendum forte ὀδυνᾶν genitivo plurali, et pro βιότου, βίοτον. Quomodo autem interpretandum sit ἔνδοθεν et θύραζε, nondum mihi constat. An, *nec penes me, nec alios*; vel, *nec opera propria, nec aliena*; vel, *nec intus in pectore Herculis, nec extrinsecus in corpore.* Eligat lector.

Δειλαία διολοῦσ' ἡμᾶς
Ἀποτίβατος ἀγρία
Νόσος· ἰὼ Παλλὰς,
Τόδε μ' αὖ λωβᾶται· ἰὼ παῖ,
Τὸν φύσαντ' οἰκτείρας,
Ἀνεπίφθονον εἴρυσον ἔγχος,
Παῖσον ἐμᾶς ὑπὸ κληῖδος.
Ἀκοῦ δ' ἄχος, ᾧ μ' ἐχόλωσε
Σὰ μάτηρ ἄθεος,
Ἂν ὧδ' ἐπίδοιμι πεσοῦσαν
Αὔτως, ὧδ' αὔτως ὥς μ' ὤλεσεν.
Ὦ Διὸς αὐθαίμων,
Ὦ γλυκὺς Ἀΐδας,
Εὔνασον, εὔνασον ὠκυπέτῃ μόρῳ
Τὸν μέλεον φθίσας.

Ἴαμβοι.

Χο. Κλύουσ' ἔφριξα τάσδε συμφορὰς, φίλαι,
Ἄνακτος, οἵαις οἷος ὢν ἐλαύνεται.
Ηρ. Ὦ πολλὰ δὴ καὶ θερμὰ, καὶ λόγῳ κακὰ,

1052. κληῖδος] κλῇδος Ald. Br.
1053. ἐχόλωσε] ἐχόλωσεν Br.
1059. εὔνασον 1mo] εὔνασόν μ' Ald. Br.
Ibid. ὠκυπέτῃ] ὠκυπέτᾳ Ald. Br.

1051. ἀνεπίφθονον, *minime impium aut scelestum.* Euripides, Hecub. 288. *ἀποκτείνειν φθόνος γυναῖκας, scelus est fœminas interficere.* Ariſtides, vol. i. p. 378. ἀνεπίφθονον διεφθάρσθαι. Schol. Thucyd. ad i. 75. ἀνεπίφθονον, ἄμεμπτον. Idem ad i. 82. ἀνεπίφθονον, ἄψογον, ἀμώμητον.

1063. θερμά. An *audacia*, ut Antig. 88? Præſtat tamen *dura* vel *acerba* interpretari. Confer Æliani Var. Hiſt. iii. 12. vii. 8.

Καὶ χερσὶ καὶ νώτοισι μοχθήσας ἐγώ·
Κοὔπω τοιοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς
Προὔθηκεν, οὔθ' ὁ στυγνὸς Εὐρυσθεὺς ἐμοὶ,
Οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη
Καθῆψεν ὤμοις τοῖς ἐμοῖς Ἐριννύων
Ὑφαντὸν ἀμφίβληστρον, ᾧ διόλλυμαι.
Πλευραῖσι γὰρ προσμαχθὲν ἐκ μὲν ἐσχάτας
Βέβρωκε σάρκας, πνεύμονός τ' ἀρτηρίας
Ῥοφεῖ ξυνοικῶν· ἐκ δὲ χλωρὸν αἷμά μου
Πέπωκεν ἤδη, καὶ διέφθαρμαι δέμας
Τὸ πᾶν, ἀφράστῳ τῇδε χειρωθεὶς πέδῃ.
Κοὐ ταῦτα λόγχη πεδιὰς, οὔθ' ὁ γηγενὴς
Στρατὸς γιγάντων, οὔτε θήρειος βία,
Οὔθ' Ἑλλὰς, οὔτ' ἄγλωσσος, οὔθ' ὅσην ἐγὼ
Γαῖαν καθαίρων ἱκόμην, ἔδρασέ πω.

1064. χερσὶ] χειρὶ Ald.
1071. πνεύμονος] πλεύμονας Ald. πλεύμονος Br.
1072. ξυνοικῶν] ξυνοικοῦν Ald. Br.
1073. πέπωκεν] πέπτωκεν Ald.

1069. ἀμφίβληστρον. Eodem nomine Æſchylus tunicam, qua illaqueatus eſt Agamemnon, deſignat, Choeph. 490.

1071. ἀρτηρίας. Intelligenda fiſtula, quam nunc aſperam arteriam vocamus. Vid. ad Eurip. Rheſ. 787.

1072. χλωρὸν αἷμα. Supra ad v. 861. χλωρὰ δάκρυα illuſtravimus: χλωρὸν αἷμα ubi præterea dictum ſit, mihi non in promptu eſt oſtendere. Homerus quidem, quod proximum eſt, habet, Iliad. Λ. 266.

— αἷμ' ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς.

1075. λόγχη πεδιὰς, *pugna in campo* adverſus Centauros puta vel Minyas.

1077. ἄγλωσσος. Heſychius: ἄγλωσσοι, βάρβαροι.

Γυνὴ δὲ, θῆλυς οὖσα, κοὐκ ἀνδρὸς φύσιν,
Μόνη με δὴ καθεῖλε φασγάνου δίχα.
Ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγὼς,
Καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.
Δός μοι, χεροῖν σαῖν αὐτὸς ἐξ οἴκου λαβὼν,
Εἰς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα,
Εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον ἢ κείνης, ὁρῶν
Λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον.
Ἴθ', ὦ τέκνον, τόλμησον· οἴκτειρόν τέ με
Πολλοῖσιν οἰκτρὸν, ὅστις ὥστε παρθένος
Βέβρυχα κλαίων· καὶ τόδ' οὐδ' ἂν εἷς ποτὲ
Τόνδ' ἄνδρα φαίη πρόσθ' ἰδεῖν δεδρακότα·
Ἀλλ' ἀστένακτος αἰὲν ἑσπόμην κακοῖς.
Νῦν δ' ἐκ τοιούτου θῆλυς εὕρημαι τάλας.
Καὶ νῦν προσελθὼν στῆθι πλησίον πατρὸς·
Σκέψαι δ' ὁποίας ταῦτα συμφορᾶς ὕπο
Πέπονθα· δείξω γὰρ τάδ' ἐκ καλυμμάτων.
Ἰδοὺ, θεᾶσθε πάντες ἄθλιον δέμας.
Ὁρᾶτε τὸν δύστηνον, ὡς οἰκτρῶς ἔχω.
Αἶ, αἶ, ὦ τάλας, ἒ, ἔ.
Ἔθαλψεν ἄτης σπασμὸς ἀρτίως· ὁ δ' αὖ
Διῇξε πλευρῶν· οὐδ' ἀγύμναστόν μ' ἐᾶν

1079. κοὐκ ἀνδρὸς φύσιν, i. e. robore etiam viro inferior, multo igitur magis Fera vel Gigante.

1095. ἐκ καλυμμάτων, i. e. ἔξω καλυμμάτων. Contrario ſenſu habet Æſchylus, Agam. 1187.

1099. ἔθαλψεν. Conf. Æſchyl. Prometh. 878. Noſtri Antig. 1098.

Ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
Ὦ ᾿ναξ αἴδη, δέξαι μ᾽· ὦ Διὸς ἀκτὶς, παῖσον.
Ἔνσεισον, ὦ ᾿ναξ, ἐγκατάσκηψον βέλος,
Πάτερ, κεραυνοῦ· δαίνυται γὰρ αὖ πάλιν·
Ἤνθηκεν, ἐξώρμηκεν· ὦ χέρες, χέρες·
Ὦ νῶτα, καὶ στέρν᾽· ὦ φίλοι βραχίονες,
Ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ᾽, οἵ ποτε
Νεμέας ἔνοικον βουκόλων ἀλάστορα
Λέοντ᾽, ἄπλατον θρέμμα κἀπροσήγορον,
Βίᾳ κατειργάσασθε, Λερναίαν θ᾽ ὕδραν,
Διφυῆ τ᾽ ἄμικτον ἱπποβάμονα στρατὸν
Θηρῶν, ὑβριστὴν, ἄνομον, ὑπέροχον βίαν·
Ἐρυμάνθιόν τε θῆρα· τόν θ᾽ ὑπὸ χθονὸς
Ἅδου τρίκρανον σκύλακ᾽, ἀπρόσμαχον τέρας,
Δεινῆς Ἐχίδνης θρέμμα· τόν τε χρυσέων
Δράκοντα μήλων φύλακ᾽ ἐπ᾽ ἐσχάτοις τόποις;

1102. δέξαι μ᾽] δέξαι με Ald.
1107. ἐκεῖνοι] δὲ κεῖνοι F. 2.
1112. ὑπέροχον] ὑπείροχον Ald. Turn.
1113. τόν θ᾽] τόνδ᾽ Ald.
1115. τόν τε] τῶν τε Turneb.

1102. ὦ ᾿ναξ αἴδη, δέξαι μ᾽. Valckenaerius, vir ſummus, ad Eurip. Hippol. 1378. recte judicat ὦ ᾿ναξ minus hic convenire, de alio deo in ſequente verſu poſitum. Emendat igitur ὦ νὺξ, ἀΐδι δέξαι με. Mihi non deterius videtur: ὦ νὺξ αἴδου, δέξαι μ᾽, *O nox, O caligo Orci, recipe me.*

Ibid. ὦ Διὸς ἀκτὶς, παῖσον. Idem vir doctiſſimus emendat πέσον. Mihi ſatisfacit vulgata.

1112. ὑπέροχον. Sic legendum monet Clarkius ad Homerum; Iliad. B. 426. cui obtemperandum anapæſti vitandi cauſa.

1115. Ἐχίδνης θρέμμα. Cerberum Echidnæ ſobolem fuiſſe tradit Heſiodus, Theogn. 310. Hyginus in prooemio: *ex Typhone et Echidna Cerberus.*

Ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
Κοὐδεὶς τρόπαι᾽ ἔστησε τῶν ἐμῶν χερῶν.
Νῦν δ᾽ ὧδ᾽ ἄναρθρος καὶ κατερρακωμένος
Τυφλῆς ὑπ᾽ ἄτης ἐκπεπόρθημαι τάλας,
Ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος,
Ὁ τοῦ κατ᾽ ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος.
Ἀλλ᾽ εὖ γέ τοι τόδ᾽ ἴστε, κἂν τὸ μηδὲν ὦ,
Κἂν μηδὲν ἕρπω, τήν γε δράσασαν τάδε
Χειρώσομαι· κἀκ τῶνδε προσμόλοι μόνον,
Ἵν᾽ ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν, ὅτι
Καὶ ζῶν κακούς γε καὶ θανὼν ἐτισάμην.
Χο. Ὦ τλῆμον Ἑλλάς, πένθος οἷον εἰσορῶ
Ἕξουσαν, ἀνδρὸς τοῦδέ γ᾽ εἰ σφαλήσεται.
Τλ. Ἐπεὶ παρέσχες ἀντιφωνῆσαι, πάτερ,
Σιγὴν παρασχών, κλῦθί μου, νοσῶν ὅμως.
Αἰτήσομαι γάρ σ᾽ ὧν δίκαια τυγχάνειν.
Δός μοι σεαυτόν, μὴ τοσοῦτον ὡς δάκνῃ
Θυμῷ δύσοργος· οὐ γὰρ ἂν γνοίης ἐν οἷς

1125. μόνον] μόνων Ald. diſtinguit autem Br. poſt τῶνδε.

1133. τοσοῦτον] τοιοῦτον Br.

1125. Diſtinguendum cum H. Stephano:

Χειρώσομαι κἀκ τῶνδε· προσμόλοι μόνον·
Ἵν᾽ ἐκδιδαχθῇ——.

Idem καὶ ἐκ τῶνδε optime explicat *etiam hoc rerum ſtatu*, i. e. licet vires meæ jam exhauſtæ ſint.

1133. δός μοι σεαυτὸν, *præbe mihi te mitiorem quam pro ira qua nunc ardes.*

1134. οὐ γὰρ ἂν γνοίης. Legendum putem: εὖ γὰρ ἂν γνοίης, et in ſequenti verſu ματῶν participium verbi ματάω. *Bene enim noveris*

Χαίρειν πρόθυμῃ, κἂν ὅτοις ἀλγεῖς μάτην.
Ηρ. Εἰπὼν ὃ χρῄζεις, λῆξον· ὡς ἐγὼ νοσῶν,
Οὐδὲν ξυνίημ᾽ ὧν σὺ ποικίλλεις πάλαι.
Υλ. Τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων, ἐν οἷς
Νῦν ἐστιν, οἷς θ᾽ ἥμαρτεν οὐχ ἑκουσία.
Ηρ. Ὦ παγκάκιστε, καὶ παρεμνήσω γὰρ αὖ
Τῆς πατροφόντου μητρὸς ὡς κλύειν ἐμέ;
Υλ. Ἔχει γὰρ οὕτως ὥστε μὴ σιγᾷν πρέπειν.
Ηρ. Οὐ δῆτα, τοῖς γε πρόσθεν ἡμαρτημένοις;
Υλ. Ἀλλ᾽ οὐδὲ μὲν δὴ τοῖσδ᾽ ἐφ᾽ ἡμέραν ἐρεῖς.
Ηρ. Λέγ᾽. εὐλαβοῦ δὲ μὴ φανῇς κακὸς γεγώς.
Υλ. Λέγω· τέθνηκεν ἀρτίως νεοσφαγής.
Ηρ. Πρὸς τοῦ; τέρας τοι διὰ κακῶν ἐθέσπισας.
Υλ. Αὐτὴ πρὸς αὑτῆς, οὐδενὸς πρὸς ἐκτόπου.
Ηρ. Οἴ μοι, πρὶν, ὡς χρῆν, σφ᾽ ἐξ ἐμῆς θανεῖν χερός;
Υλ. Κἂν σοῦ στραφείη θυμὸς, εἰ τὸ πᾶν μάθοις.
Ηρ. Δεινοῦ λόγου κατῆρξας, εἰπὲ δ᾽ ᾗ νοεῖς.

1144. τοῖσδ᾽] τοῖς γ᾽ Ald. Turn. Br.   1150. στραφείη] στραφοίη Ald.

errare te, tum in gaudio quod appetis, tum in iis quæ animum tibi dilacerant.

1138. μητρός. An ſubaudiendum περί? Eadem certe conſtructio qua φωτὸς ἐξερήσομαι dixit, Philoct. 444.

1144. Interpretor: *ſed et hodie dices ne ob hæc quidem tacendum eſſe.* Ἐφ᾽ ἡμέραν, *hodie*, i. e. ſtatim. Pollux, lib. i. ſect. 65. τὸ δ᾽ εἰς τὴν ἐπιοῦσαν μὴ μένον, ἐφήμερον.

1147. διὰ κακῶν ἐθέσπισας. Legendum: διακυκῶν. Heſychius: διακυκῶσι, διαταράττουσι. Sic ταράττει ἐν τοῖς λόγοις, Plato, p. 258. ubi pariter nullus accuſativus. Verbum διακυκᾶν eandem fere poteſtatem habet apud Demoſthenem de Corona, p. 263. ἄνω καὶ κάτω διακυκῶν.

Υλ. Ἅπαν τὸ χρῆμ' ἥμαρτε, χρηστὰ μνωμένη.
Ηρ. Χρηστ' ὦ κάκιστε, πατέρα σὸν κτείνασα, δρᾷ;
Υλ. Στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν,
Ἀπήμπλαχ', ὡς προσεῖδε τοὺς ἔνδον γάμους.
Ηρ. Καὶ τίς τοσοῦτος φαρμακεὺς Τραχινίων;
Υλ. Νέσσος πάλαι κένταυρος ἐξέπεισέ νιν
Τοιῷδε φίλτρῳ τὸν σὸν ἐκμῆναι πόθον.
Ηρ. Ἰοὺ, ἰοὺ, δύστηνος, οἴχομαι τάλας.
Ὄλωλ', ὄλωλα, φέγγος οὐκέτ' ἐστί μοι.
Οἴ μοι, φρονῶ δὴ ξυμφορᾶς ἵν' ἕσταμεν.
Ἴθ', ὦ τέκνον· πατὴρ γὰρ οὐκέτ' ἐστί σοι·
Κάλει τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων,
Κάλει δὲ τὴν τάλαιναν Ἀλκμήνην, Διὸς
Μάτην ἄκοιτιν, ὡς τελευταίαν ἐμοῦ
Φήμην πύθησθε θεσφάτων, ὅσ' οἶδ' ἐγώ.
Υλ. Ἀλλ' οὔτε μήτηρ ἐνθάδ', ἀλλ' ἐπακτίᾳ
Τίρυνθι συμβέβηκεν, ὥστ' ἔχειν ἕδραν.
Παίδων δὲ τοὺς μὲν ξυλλαβοῦσ' αὐτὴ τρέφει,
Τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις.
Ἡμεῖς δ' ὅσοι πάρεσμεν, εἴ τι χρὴ, πάτερ,
Πράττειν, κλύοντες ἐξυπηρετήσομεν.

1172. πράττειν] πράσσειν Br.

1152. μνωμένη. Legendum μωμένη, *cupiens, petens.* Vid. ad Œd. Col. 877.

1168. συμβέβηκεν. Alcmena cum in exilium ab Eurystheo acta fuerit, Diodor. Sic. iv. 33. nec nisi eo concedente redire potuerit, lubens verbum hoc interpreter, *pactum initum est:* ut constructio sit, συμβέβηκεν ὥστε ἕδραν ἔχειν ἐπακτίᾳ Τίρυνθι.

Ηρ. Σὺ δ' οὖν ἄκουε τοὔργον· ἐξήκεις δ' ἵνα
Φανῇς ὁποῖος ὢν ἀνήρ, ἐμὸς καλῇ.
Ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς πάλαι,
Πρὸς τῶν πνεόντων μηδενὸς θανεῖν ὕπο,
Ἀλλ' ὅστις ᾅδου φθίμενος οἰκήτωρ πέλει.
Ὅδ' οὖν ὁ θὴρ κένταυρος, ὡς τὸ θεῖον ἦν
Πρόφαντον, οὕτω ζῶντά μ' ἔκτανεν θανών.
Φανῶ δ' ἐγὼ τούτοισι συμβαίνοντ' ἴσα
Μαντεῖα καινὰ τοῖς πάλαι ξυνήγορα,
Ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ
Σελλῶν ἐσελθὼν ἄλσος εἰσεγραψάμην
Πρὸς τῆς πατρῴας καὶ πολυγλώσσου δρυός·
Ἥ μοι χρόνῳ τῷ ζῶντι καὶ παρόντι νῦν
Ἔφασκε μόχθων τῶν ἐφεστώτων ἐμοὶ
Λύσιν τελεῖσθαι· κἀδόκουν πράξειν καλῶς.
Τὸ δ' ἦν ἄρ' οὐδὲν ἄλλο πλὴν θανεῖν ἐμέ.

1173. σὺ δ' οὖν] σὺ γοῦν Br. σὺ δὲ νῦν Turneb. in marg.
1174. φανῇς] φανεῖς Br.
1175. πρόφαντον] πρόσφαντον F. 2. Vide Schol.
1176. θανεῖν ὕπο] θανεῖν ἄπο Br.
1177. πέλει] πέλοι Br. e cod. B.
1179. ἔκτανεν] ἔκτεινεν Ald. Br.
1183. Σελλῶν ἐσελθὼν] Ἑλλῶν προσελθὼν Turneb. in marg.

1176. Optime hic conveniret utralibet præpositio πρὸς vel ὑπό; utraque an simul consistere possit, mihi non liquet. Simile certe exemplum nondum inveni: tantum pleonasmum præpositionis aliquoties vid. ad Antig. 23. Pro ὑπὸ non displiceret ποτὲ, cujus ultima syllaba si quocumque casu deleta fuerit, pronum erat librariis pro πο substituere ὑπό.

1183. Σελλῶν. Vide interpretes Homeri ad Iliad. Π. 234.

1184. καὶ πολυγλώσσου. Legendum κοὐ παλιγλώσσου. Nam παλίγλωσσος valet *falsus*, Pind. Nem. i. stroph. 4.

1185. ζῶντι. Vide ad Œd. Tyr. 490.

"Τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίνεται."
Ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ συμβαίνει, τέκνον,
Δεῖ σ' αὖ γενέσθαι τῷδε τἀνδρὶ ξύμμαχον,
Καὶ μὴ 'πιμεῖναι τοὐμὸν ὀξῦναι στόμα,
Ἀλλ' αὐτὸν εἰκάθοντα συμπράσσειν, νόμον
Κάλλιστον ἐξευρόντα, πειθαρχεῖν πατρί.
Υλ. Ἀλλ' ὦ πάτερ, ταρβῶ μὲν εἰς λόγου στάσιν
Τοιάνδ' ἐπελθών, πείσομαι δ' ἅ σοι δοκεῖ.
Ηρ. Ἔμβαλλε χεῖρα δεξιὰν πρώτιστά μοι.
Υλ. Ὡς πρὸς τί πίστιν τήνδ' ἄγαν ἐπιστρέφεις;
Ηρ. Οὐ θᾶσσον οἴσεις, μηδ' ἀπιστήσεις ἐμοί;
Υλ. Ἰδοὺ προτείνω, κοὐδὲν ἀντειρήσεται.
Ηρ. Ὄμνυ Διός νυν τοῦ με φύσαντος κάρα.
Υλ. Ἦ μὴν τί δράσειν; καὶ τόδ' ἐξειρήσεται.
Ηρ. Ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.
Υλ. Ὄμνυμ' ἔγωγε, Ζῆν' ἔχων ἐπώμοτον.
Ηρ. Εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχου λαβεῖν.
Υλ. Οὐ μὴ λάβω· δράσω γάρ· εὔχομαι δ' ὅμως.
Ηρ. Οἶσθ' οὖν τὸν Οἴτης Ζηνὸς ὕψιστον πάγον;
Υλ. Οἶδ', ὡς θυτήρ γε πολλὰ δὴ σταθεὶς ἄνω.
Ηρ. Ἐνταῦθα νῦν χρὴ τοὐμὸν ἐξάραντά σε

1191. ξύμμαχον] σύμμαχον Br. 1202. τόδ'] τότ' Turneb. in marg.

1192. ὀξῦναι, *acre fieri*, neutraliter. Vide ad Electr. 922. Et sic etiam πραΰνειν, Philoct. 659. βράδυνε, ibid. 1440.

1198. ἐπιστρέφεις, i. e. φροντίζεις, *curas*. Plerumque hoc sensu adhiberi solet ἐπιστρέφομαι, ut si MSS. præberent ἐπιστρέφῃ, vel ἐπεστράφης, vulgatæ anteponendum esset.

1207. Οἴτης. Lego Οἴτῃ, ut Δωδῶνι supra, v. 175. Vid. et R. Bentleio notata ad Callimach. Lav. Pallad. 18.

Σῶμ' αὐτόχειρα, καὶ ξὺν οἷς χρῄζεις φίλων,
Πολλὴν μὲν ὕλην τῆς βαθυῤῥίζου δρυὸς
Κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμοῦ
Ἄγριον ἔλαιον, σῶμα τοὐμὸν ἐμβαλεῖν.
Καὶ πευκίνης λαβόντα λαμπάδος σέλας,
Πρῆσαι· γόου δὲ μηδὲν εἰσίτω δάκρυ,
Ἀλλ' ἀστένακτος κἀδάκρυτος, εἴπερ εἶ
Τοῦδ' ἀνδρὸς, ἔρξον· εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ,
Καὶ νέρθεν ὢν, ἀραῖος εἰσαεὶ βαρύς.
Υλ. Οἴμοι, πάτερ, τί μ' εἶπας; οἷά μ' εἴργασαι;
Ηρ. Ὁποῖα δραστέ' ἐστίν· εἰ δὲ μὴ, πατρὸς
Ἄλλου γενοῦ του, μηδ' ἐμὸς κληθῇς ἔτι.
Υλ. Οἴμοι μάλ' αὖθις, οἷά μ' ἐκκαλῇ, πάτερ,
Φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν.
Ηρ. Οὐ δῆτ' ἔγωγ'· ἀλλ' ὧν ἔχω παιώνιον
Καὶ μοῦνον ἰατῆρα τῶν ἐμῶν κακῶν.
Υλ. Καὶ πῶς ὑπαίθων σῶμ' ἂν ἰώμην τὸ σόν;
Ηρ. Ἀλλ' εἰ φοβῇ πρὸς τοῦτο, τἄλλα μ' ἔργασαι.
Υλ. Φορᾶς γέ τοι φθόνησις οὐ γενήσεται.
Ηρ. Ἦ καὶ πυρᾶς πλήρωμα τῆς εἰρημένης;
Υλ. Ὅσον γ' ἂν αὐτὸς μήποτε ψαύω χεροῖν·
Τὰ δ' ἄλλα πράξω, κοὐ καμῇ τοὐμὸν μέρος.
Ηρ. Ἀλλ' ἀρκέσει καὶ ταῦτα· πρόσνειμαι δέ μοι

1219. τί μ'] τίν' Ald. Br.
1227. τἄλλα μ'] τἄλλα γ' Ald. Br.
1230. μήποτε ψαύω] μὴ ποτιψαύων Ald. Br. mox καμεῖ Br.

1227. φοβῇ πρὸς τοῦτο. Vide citata ad Œd. Col. 1181. Antoninus Liberalis, c. 29. ταύτην Ἑκάτη πρὸς μεταβολὴν τῆς ὄψεως ᾤκτειρε.

1229. τῆς εἰρημένης, *qualem descripsi.*

1230. ψαύω. Omnino legendum ψαύων, *tangens.*

Χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδούς.
Τλ. Εἰ καὶ μακρὰ κάρτ᾽ ἐστὶν, ἐργασθήσεται.
Ηρ. Τὴν Εὐρυτείαν οἶσθα δῆτα παρθένον;
Τλ. Ἰόλην ἔλεξας, ὥς γ᾽ ἐπεικάζειν ἐμέ.
Ηρ. Ἔγνως· τοσοῦτον δή σ᾽ ἐπισκήπτω, τέκνον,
Ταύτην, ἐμοῦ θανόντος, (εἴπερ εὐσεβεῖν
Βούλει) πατρῴων ὁρκίων μεμνημένος,
Πρόσθου δάμαρτα· μηδ᾽ ἀπιστήσῃς πατρί·
Μηδ᾽ ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
Κλιθεῖσαν αὐτὴν, ἀντὶ σοῦ λάβοι ποτέ·
Ἀλλ᾽ αὐτὸς, ὦ παῖ, τοῦτο κήδευσον λέχος.
Πείθου· " τὸ γάρ τοι μεγάλα πιστεύσαντ᾽ ἐμοὶ,
" Σμικροῖς ἀπιστεῖν, τὴν πάρος συγχεῖ χάριν.
Τλ. Οἴμοι· τὸ μὲν νοσοῦντι θυμοῦσθαι, κακόν·
Τὸ δ᾽ ὧδ᾽ ὁρᾶν φρονοῦντα, τίς ποτ᾽ ἂν φέροι;
Ηρ. Ὡς ἐργασείων οὐδὲν ὧν λέγω θροεῖς.
Τλ. Τίς γάρ ποθ᾽, ἥ μοι μητρὶ μὲν θανεῖν μόνη
Μεταίτιος, σοί τ᾽ αὖθις ὡς ἔχεις ἔχειν,
Τίς ταῦτ᾽ ἂν, ὅστις μὴ ᾿ξ ἀλαστόρων νοσοῖ,
Ἕλοιτο; κρεῖσσον κἀμέ γ᾽, ὦ πάτερ, θανεῖν,
Ἢ τοῖσιν ἐχθίστοισι συνναίειν ὁμοῦ.
Ηρ. Ἀνὴρ ὅδ᾽, ὡς ἔοικεν, οὐ νέμει γ᾽ ἐμοὶ
Φθίνοντι μοῖραν· ἀλλά τοι θεῶν ἀρὰ

1244. πείθου] πιθοῦ Br.
1245. συγχεῖ] ξυγχεῖ Br.
1254. νέμει γ᾽] νέμειν Ald. νεμεῖν Br.

1244. πιστεύσαντ᾽, *obedientem.*

1251. ταῦτ᾽ ἄν. Pro τήνδ᾽ ἄν. Vide Eurip. Alceſt. 261.

1254. οὐ νέμει—μοῖραν. Æſchyl. Prometh. 291. οὐκ ἔστιν ὅτῳ πλείονα μοῖραν Νείμαιμ᾽ ἢ σοί.

Μενεῖ σ' ἀπιστήσαντα τοῖς ἐμοῖς λόγοις.
Υλ. Οἴμοι· τάχ', ὡς ἔοικας, ὡς νοσεῖς φράσεις.
Ηρ. Σὺ γάρ μ' ἀπευναθέντος ἐκκινεῖς κακοῦ.
Υλ. Δείλαιος, ὡς ἐς πολλά γ' ἐπαπορεῖν ἔχω.
Ηρ. Οὐ γὰρ δικαιοῖς τοῦ φυτεύσαντος κλύειν.
Υλ. Ἀλλ' ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν, πάτερ;
Ηρ. Οὐ δυσσέβεια τοὐμὸν εἰ τέρψεις κέαρ.
Υλ. Πράσσειν ἄνωγας οὖν με πανδίκως τάδε;
Ηρ. Ἔγωγε· τούτων μάρτυρας καλῶ θεούς.
Υλ. Τοιγὰρ ποιήσω, κοὐκ ἀπώσομαι, τὸ σὸν
Θεοῖσι δεικνὺς ἔργον· οὐ γὰρ ἄν ποτε
Κακὸς φανείην, σοί γε πιστεύσας, πάτερ.
Ηρ. Καλῶς τελευτᾷς, κἀπὶ τοῖσδε τὴν χάριν
Ταχεῖαν, ὦ παῖ, πρόσθες· ὡς πρὶν ἐμπεσεῖν
Σπαραγμὸν, ἤ τιν' οἶστρον, ἐς πυράν με θῇς.
Ἄγ', ἐγκονεῖτ', αἴρεσθε· παῦλά τοι κακῶν
Αὕτη τελευτὴ τοῦδε τἀνδρὸς ὑστάτη.
Υλ. Ἀλλ' οὐδὲν εἴργει σοι τελειοῦσθαι τάδε,
Ἐπεὶ κελεύεις κἀξαναγκάζεις, πάτερ.

Ἀνάπαιστοι.

Ηρ. Ἄγε νυν, πρὶν τήνδ' ἀνακινῆσαι

1259. γ' ἐπαπορεῖν] τἀπορεῖν Ald. Br.

1259. Placet quod habet Aldina, ἐς πολλὰ τἀπορεῖν. Solet enim apud Sophoclem articulus ante infinitivos πλεονάζειν. Vid. ad Œd. Col. 48.

1272. ὑστάτη. Connecto cum παῦλα hoc modo: αὕτη τελευτὴ παῦλα ὑστάτη κακῶν τοῦδε ἀνδρός.

1275. ἀνακινῆσαι, *priusquam commoverit*, i. e. commoverit se, re-

Νόσον, ὦ ψυχὴ σκληρὰ, χάλυβος
Λιθοκόλλητον στόμιον παρέχου-
σ᾽, ἀνάπαυε βοὴν, ὡς ἐπίχαρτον
Τελέως ἀεκούσιον ἔργον.
Τλ. Αἴρετ᾽, ὀπαδοὶ, μεγάλην μὲν ἐμοὶ
Τούτων θέμενοι συγγνωμοσύνην,
Μεγάλην δὲ θεοῖς ἀγνωμοσύνην
Εἰδότες ἔργων τῶν πρασσομένων·
Οἳ φύσαντες, καὶ κληζόμενοι
Πατέρες, τοιαῦτ᾽ ἐφορῶσι πάθη.
Τὰ μὲν οὖν μέλλοντ᾽ οὐδεὶς ἐφορᾷ·
Τὰ δὲ νῦν ἑστῶτ᾽, οἰκτρὰ μὲν ἡμῖν,
Αἰσχρὰ δ᾽ ἐκείνοις·
Χαλεπώτατα δ᾽ οὖν ἀνδρῶν πάντων,

1280—90. Herculi hæc tribuit Ald. 1289. πάντων] ἁπάντων F. 2.
1282. θεοῖς] θεῶν Ald.

ſurrexerit. Paſſivam vel reciprocam poteſtatem obtinere, nullis frequentius quam *movendi* verbis contingit. Exempla aliquot dedimus ad Eurip. Bacch. 585. Sed et παρακινεῖν vix alio uſu occurrit.

1277. παρέχουσ᾽. An legendum προέχουσ᾽, *prætendens ori?*

1278. ἀνάπαυε βοήν. Patet hinc Herculem ſeipſum, non alium quemvis, alloqui. Comparari poteſt Homericum illud τέτλαθι δὴ κραδίη, Odyſſ. Υ. 18.

1279. ἀεκούσιον cum minime hic conveniat, vide, lector, an legendum et diſtinguendum ſit:

—— ὡς ἐπίχαρτον,
Τελέως ἅθ᾽ ἑκούσιον, ἔργον.

ἅθ᾽, i. e. ἅτε.

1282. ἀγνωμοσύνην εἰδότες. Idem uſus verbi in contraria phraſi χάριν εἰδότες.

Τῷ τήνδ' ἄτην ὑπέχοντι.
Χο. Λείπου μηδὲ σὺ, παρθέν', ἐπ' οἴκων,
Μεγάλους μὲν ἰδοῦσα νέους θανάτους,
Πολλὰ δὲ πήματα καινοπαθῆ.
Κοὐδὲν τούτων ὅ, τι μὴ Ζεύς.

1291. ἐπ' οἴκων] Ita Br. Turn. in marg. ἀπ' οἴκων Ald. Turneb. in contextu.

1291.—ad finem Choro vel Hyllo inſcribit Ald.

1294. κοὐδὲν] οὐδὲν Br. καὶ in verſum præcedentem rejecto.

1291. ἐπ' οἴκων. Omnino recipienda varietas hæc a Scholiaſta conſervata. Alioqui, cum reliqui omnes ab ædibus diſceſſuri eſſent, vim ſuam non obtinebit particula negativa μηδέ.

1293. πολλά. Malim ob metrum πάμπολλα.

Ibid. καινοπαθῆ. MSS. nonnulli, teſte H. Stephano, καινοταγῆ habent.

ΣΟΦΟΚΛΕΟΥΣ

ΦΙΛΟΚΤΗΤΗΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΔΥΣΣΕΥΣ.
ΝΕΟΠΤΟΛΕΜΟΣ.
ΧΟΡΟΣ.
ΦΙΛΟΚΤΗΤΗΣ.
ΕΜΠΟΡΟΣ, ἢ ἄγγελος.
ΗΡΑΚΛΗΣ ἐπιφαινόμενος.

Προλογίζει δὲ ὁ Ὀδυσσεύς.

ΦΙΛΟΚΤΗΤΟΥ ΥΠΟΘΕΣΙΣ.

ΑΠΑΓΩΓΗ Φιλοκτήτου ἐκ Λήμνου εἰς Τροίαν ὑπὸ Νεοπτολέμου καὶ Ὀδυσσέως καθ' Ἑλένου μαντείαν, ὃς κατὰ μαντείαν Κάλχαντος, ὡς εἰδὼς χρησμοὺς συντελοῦντας πρὸς τὴν τῆς Τροίας ἅλωσιν, ὑπὸ Ὀδυσσέως νύκτωρ ἐνεδρευθεὶς, δέσμιος ἤχθη τοῖς Ἕλλησιν. Ἡ δὲ σκηνὴ, ἐν Λήμνῳ· ὁ δὲ χορὸς ἐκ γερόντων τῶν τῷ Νεοπτολέμῳ συμπλεόντων. Κεῖται δὲ καὶ παρ' Αἰσχύλῳ ἡ μυθοποιΐα· ἐδιδάχθη ἐπὶ Γλαυκίππου· πρῶτος ἦν Σοφοκλῆς.

ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ.

ΕΝ Χρύσῃ Ἀθηνᾶς βωμὸν ἐπικεχωσμένον,
Ἐφ' οὗπερ Ἀχαιοῖς χρησθὲν ἦν θῦσαι μόνοις,
Ποίαντος ᾔδει παῖς ποθ' Ἡρακλεῖ συνών·
Ζητῶν δὲ τοῦτον ναυάτῃ δεῖξαι στόλῳ,
Πληγεὶς ὑπ' ἔχεως, ἐλίπετ' ἐν Λήμνῳ νοσῶν.
Ἕλενος δ' Ἀχαιοῖς εἶφ', ἁλώσεσθ' Ἴλιον
Τοῖς Ἡρακλέους τόξοισι, παιδί τ' Ἀχιλλέως·
Τὰ τόξ' ὑπῆρχε παρὰ Φιλοκτήτῃ μόνῳ·
Πεμφθεὶς δ' Ὀδυσσεὺς ἀμφοτέρους συνήγαγεν.

ΟΔΥΣΣΕΥΣ, ΝΕΟΠΤΟΛΕΜΟΣ.

Ἴαμβοι.

Οδ. ΑΚΤΗ μὲν ἥδε τῆς περιῤῥύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστειπτος, οὐδ' οἰκουμένη·
Ἔνθ', ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ' ἐγώ ποτε,
Ταχθεὶς τόδ' ἔρδειν τῶν ἀνασσόντων ὕπο,
Νόσῳ καταστάζοντα διαβόρῳ πόδα.
Ὅτ' οὔτε λοιβῆς ἡμῖν, οὔτε θυμάτων
Παρῆν ἑκήλοις προσθιγεῖν· ἀλλ' ἀγρίαις
Κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις
Βοῶν, στενάζων· ἀλλὰ ταῦτα μὲν τί δεῖ
Λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων·
Μὴ καὶ μάθῃ μ' ἥκοντα, κἀκχέω τὸ πᾶν

2. Λήμνου. Appianus in Mithridat. p. 143. περὶ Λῆμνον, ἐν ἐρήμῳ νήσῳ καταλαβὼν, ἔνθα δείκνυται βωμὸς Φιλοκτήτου, καὶ χάλκεος ὄφις καὶ τόξα, — μήνυμα τῆς ἐκείνου πάθης.

Ibid. ἄστειπτος, οὐδ' οἰκουμένη, *non calcata, nedum ut habitetur.* Sic ἄθικτος, οὐδ' οἰκητὸς, Œd. Col. 39. Tenendum porro, non universam insulam penitus incolis vacuam fuisse, quam utique Argonautarum progenies habitabat, sed duntaxat tractum hunc littoralem, ἀκτὴν χθονὸς, ut ipse vocat.

7. καταστάζοντα. Ajax pariter Nostro dicitur κάρα στάζων ἱδρῶτι καὶ χέρας, v. 10. ne quis putet liquorem tantum στάζειν.

12. ἀκμὴ, *tempus, occasio:* ut Eurip. Hecub. 1042.

Σόφισμα, τῷ νιν αὐτίχ' αἱρήσειν δοκῶ.
Ἀλλ' ἔργον ἤδη σὸν, τὰ λοίφ' ὑπηρετεῖν,
Σκοπεῖν θ' ὅπου 'στ' ἐνταῦθα δίστομος πέτρα
Τοιάδ', ἵν' ἐν ψύχει μὲν ἡλίου διπλῆ
Πάρεστιν ἐνθάκησις, ἐν θέρει δ' ὕπνον
Δι' ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.
Βαιὸν δ' ἔνερθεν ἐξ ἀριστερᾶς τάχ' ἂν
Ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ ζῶν.
Ἅ μοι προσελθὼν σῖγα σήμαιν', εἴτ' ἔχει
Χῶρον πρὸς αὐτὸν τόνδε γ', εἴτ' ἄλλῃ κυρεῖ.
Ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύεις,
Ἐγὼ δὲ φράζω· κοινὰ δ' ἐξ ἀμφοῖν εἴη.
Νε. Ἄναξ Ὀδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις.
Δοκῶ γὰρ, οἷον εἶπας, ἄντρον εἰσορᾶν.
Οδ. Ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.
Νε. Τόδ' ἐξύπερθε, καὶ στίβου γ' οὐδεὶς τύπος.
Οδ. Ὅρα, καθ' ὕπνον μὴ κατακλιθεὶς κυρῇ.
Νε. Ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.
Οδ. Οὐδ' ἔνδον οἰκοποιός ἐστί τις τροφή;
Νε. Στειπτή γε φυλλὰς, ὡς ἐναυλίζοντί τῳ.

19. ἀμφιτρῆτος] ἀμφιτρῆρος Ald.
21. ζῶν] σῶν Ald. Turneb. Br.
24. κλύεις] κλύῃς Br.
25. εἴη] ἴῃ Br. e Schol.
32. οὐδ'] οὐκ Br.

19. ἀμφιτρῆτος. Extat vox Eurip. Cyclop. 707.

21. ζῶν: Vide ad Œd. Tyr. 490.

25. ἐξ ἀμφοῖν εἴη. Malim ἐξ ἀμφοῖν ἔχῃ. Ἔχω pro εἰμὶ, *ſum*. Nec ſpernendum ἴῃ (*eant*) ut videtur legiſſe Scholiaſtes.

26. οὐ μακράν. Niſi Sophoclis mos eſſet inſolentiſſima quæque ſectari, legerem οὐ μακρόν.

Οδ. Τὰ δ' ἄλλ' ἔρημα, κοὐδέν ἐσθ' ὑπόστεγον;
Νε. Αὐτόξυλόν γ' ἔκπωμα, φαυλούργου τινὸς
Τεχνήματ' ἀνδρὸς, καὶ πυρεῖ' ὁμοῦ τάδε.
Οδ. Κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.
Νε. Ἰοὺ, ἰού· καὶ ταῦτά γ' ἄλλα θάλπεται
Ῥάκη, βαρείας του νοσηλείας πλέα.
Οδ. Ἀνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς.
Κἄστ' οὐχ ἑκάς που· πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
Κῶλον παλαιᾷ κηρὶ, προσβαίη μακράν;
Ἀλλ' ἢ 'πὶ φορβῆς νόστον ἐξελήλυθεν,
Ἢ φύλλον εἴτι νώδυνον κάτοιδέ που.
Τὸν οὖν παρόντα πέμψον εἰς κατασκοπὴν,
Μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
Ἕλοιτό μ' ἢ τοὺς πάντας Ἀργείους λαβεῖν.
Νε. Ἀλλ' ἔρχεταί τε, καὶ φυλάξεται στίβος.
Σὺ δ', εἴτι χρήζεις, φράζε δευτέρῳ λόγῳ.
Οδ. Ἀχιλλέως παῖ, δεῖ σ' ἐφ' οἷς ἐλήλυθας,

34. ἐσθ'] ἐστ' Br.
35. φαυλούργου] φλαυλούργου Ald. φλαυρούργου Br.
36. τεχνήματ' ἀνδρὸς] ἀνδρὸς τέχνημα Br.
40. ἀνὴρ] ὡνὴρ Br.
47. λαβεῖν] μολεῖν Ald.

35. αὐτόξυλον, *ex mero nativoque ligno.* Vid. ad Œd. Col. 188. Extat Anthol. p. 337. in epigr. Apollonii.

36. πυρεῖα. De πυρείοις omnino videnda quæ dat Wesselingius ad Diodor. Sic. v. 67. Quod affirmat vocem hanc veteribus *ligna* non *silices* significare, astruit Theophrastus, Histor. Plant. v. 4. et de Causis Plant. i. 26. et 27. Nec obstat, quod Philoctetes se silicum attritu ignem excitasse testetur v. 299. Poetam enim in talibus constantem esse nihil necesse est. Plato, p. 641. C. τρίβοντες, ὥσπερ ἐκ πυρείων, ἐκλάμψαι ποιήσαιμεν τὴν δικαιοσύνην.

43. φορβῆς νόστον nihilo magis quam Toupius intelligo, lubenterque assentior emendanti μαστύν. Vid. ad Suidam, v. ψέγεται.

Γενναῖον εἶναι, μὴ μόνον τῷ σώματι,
Ἀλλ᾽ ἤν τι καινὸν, ὧν πρὶν οὐκ ἀκήκοας,
Κλύῃς, ὑπουργεῖν, ὡς ὑπηρέτης πάρει.
Νε. Τί δῆτ᾽ ἄνωγας;
Οδ. Τὴν Φιλοκτήτου σε δεῖ
Ψυχὴν ὅπως λόγοισιν ἐκκλέψῃς λέγων·
Ὅταν σ᾽ ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,
Λέγειν, Ἀχιλλέως παῖς· τόδ᾽ οὐχὶ κλεπτέον·
Πλεῖς δ᾽ ὡς πρὸς οἶκον, ἐκλιπὼν τὸ ναυτικὸν
Στράτευμ᾽ Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
Οἵ σ᾽ ἐν λιταῖς στείλαντες ἐξ οἴκου μολεῖν,
Μόνην δ᾽ ἔχοντες τήνδ᾽ ἅλωσιν Ἰλίου,
Οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων,
Ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ,
Ἀλλ᾽ αὔτ᾽ Ὀδυσσεῖ παρέδοσαν· λέγων ὅσ᾽ ἂν
Θέλῃς καθ᾽ ἡμῶν ἔσχατ᾽ ἐσχάτων κακά.
Τούτων γὰρ οὐδέν μ᾽ ἀλγυνεῖς· εἰ δ᾽ ἐργάσῃ
Μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς.
Εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
Οὐκ ἔστι πέρσαι σοι τὸ Δαρδάνου πέδον.
Ὡς δ᾽ ἔστ᾽ ἐμοὶ μὲν οὐχὶ, σοὶ δ᾽ ὁμιλία
Πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.

56. ἐκκλέψῃς] ἐκκλέψεις Br. e cod. B.
61. οἴκου] οἴκων Ald. Turneb. Br.
62. μόνην δ᾽] μόνην Ald. Br.

53. ὡς ὑπηρέτης πάρει. Malim, οἷς ὑπηρέτης πάρει. Verecunda periphrasis pro *mihi*.

61. ἐν λιταῖς. Abundat ἐν. Vide ad Trachin. 903.

64. κυρίως. An legendum κυρίως τ᾽?

66. ἔσχατ᾽ ἐσχάτων. Confer Œd. Col. 1302.

Σὺ μὲν πέπλευκας, οὔτ' ἔνορκος οὐδενὶ,
Οὔτ' ἐξ ἀνάγκης, οὔτε τοῦ πρώτου στόλου.
Ἐμοὶ δὲ τούτων οὐδέν ἐστ' ἀρνήσιμον.
Ὥστ', εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
Ὄλωλα, καὶ σὲ προσδιαφθερῶ ξυνών.
Ἀλλ' αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
Ὅπως γενήσῃ τῶν ἀνικήτων ὅπλων.
Ἔξοιδα καὶ φύσει σε μὴ πεφυκότα
Τοιαῦτα φωνεῖν, μηδὲ τεχνᾶσθαι κακά.
Ἀλλ' ἡδὺ γάρ τοι κτῆμα τῆς νίκης λαβεῖν.
Τόλμα· δίκαιοι δ' αὖθις ἐκφανούμεθα.
Νῦν δ' εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ
Δός μοι σεαυτόν· κᾆτα τὸν λοιπὸν χρόνον
Κέκλησο πάντων εὐσεβέστατος βροτῶν.
Νε. Ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων,
Λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ.
Ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
Οὔτ' αὐτὸς, οὔθ' (ὥς φασιν) οὑκφύσας ἐμέ.
Ἀλλ' εἴμ' ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ' ἄγειν,
Καὶ μὴ δόλοισιν· οὐ γὰρ ἐξ ἑνὸς ποδὸς

73. οὔτ' ἔνορκος οὐδενὶ, *nemini jurejurando obstrictus:* ne Philoctetæ forte incredibile videatur eum exercitu relicto domum redire.

74. οὔτ' ἐξ ἀνάγκης, *neque vi coactus.* Tali enim homini non magis liberum fuisset expeditionem deserere, quam fuerat antea detrectare.

Ibid. οὔτε τοῦ πρώτου στόλου, *neque in prima classe.* Hi enim omnes Philoctetæ ob ipsum derelictum invisi esse debebant.

87. κλύων, i.e. ὀνειδιζόμενος. Sic infra, ὁ πάντ' ἀκούων αἰσχρὰ καὶ λωβήτ' ἔπη, v. 616.

92. ἐξ ἑνὸς ποδός. Conf. Aj. 27. Electr. 457. Trachin. 888.

Ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.
Πεμφθεὶς γε μέντοι σοὶ ξυνεργάτης, ὀκνῶ
Προδότης καλεῖσθαι· " βούλομαι δ', ἄναξ, καλῶς
" Δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.

Οδ. Ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ,
" Γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν·
" Νῦν δ' εἰς ἔλεγχον ἐξιὼν, ὁρῶ βροτοῖς
" Τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην.

Νε. Τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;

Οδ. Λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν.

Νε. Τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;

Οδ. Οὐ μὴ πίθηται· πρὸς βίαν δ' οὐκ ἂν λάβοις.

Νε. Οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;

Οδ. Ἰοὺς ἀφύκτους καὶ προπέμποντας φόνον.

Νε. Οὐκ ἆρ' ἐκείνῳ γ' οὐδὲ προσμίξαι θρασύ;

Οδ. Οὐ, μὴ δόλῳ λαβόντα γ', ὡς ἐγὼ λέγω.

Νε. Οὐκ αἰσχρὸν ἡγῇ δῆτα τὰ ψευδῆ λέγειν;

Οδ. Οὐκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.

Νε. Πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λαλεῖν;

Οδ. Ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει.

Νε. Κέρδος δέ μοι τί τοῦτον ἐς Τροίαν μολεῖν;

Οδ. Αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.

Νε. Οὐκ ἆρ' ὁ πέρσων, ὡς ἐφάσκετ', εἴμ' ἐγώ;

Οδ. Οὔτ' ἂν σὺ κείνων χωρὶς, οὔτ' ἐκεῖνα σοῦ.

115. ὁ πέρσων] ὁ πέρσων γ' Ald. Br.

96. νικᾶν κακῶς, i. e. νικᾶν, κακῶς δρῶν. Diftinguendum enim poft νικᾶν.

100. ἡγουμένην, *regentem, gubernantem.* Conf. Eurip. Supp. 228.

Νε. Θηρατέ' οὖν γένοιτ' ἄν, εἴπερ ὧδ' ἔχει.
Οδ. Ὡς τοῦτό γ' ἔρξας, δύο φέρῃ δωρήματα.
Νε. Ποίω; μαθὼν γὰρ οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.
Οδ. Σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ' ἅμα.
Νε. Ἴτω, ποιήσω πᾶσαν αἰσχύνην ἀφείς.
Οδ. Ἦ μνημονεύεις οὖν ἅ σοι παρῄνεσα;
Νε. Σάφ' ἴσθ', ἐπείπερ εἰσάπαξ ξυνῄνεσα.
Οδ. Σὺ μὲν μένων νῦν κεῖνον ἐνθάδ' ἐκδέχου·
Ἐγὼ δ' ἄπειμι, μὴ κατοπτευθῶ παρών,
Καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.
Καὶ δεῦρ', ἐάν μοι τοῦ χρόνου δοκῆτ' ἔτι
Κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
Τοῦτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρου τρόπον
Μορφὴν δολώσας, ὡς ἂν ἀγνοίᾳ προσῇ.

117. θηρατέ' οὖν γένοιτ' ἂν] θηρατέα γίγνοιτ' ἂν Ald. θηρατέ' οὖν γίγνοιτ' ἂν Br.
120. κεκλῇ'] κέκλησ' Ald.
123. ξυνῄνεσα] συνῄνεσα Ald.
127. δοκῆτ' ἔτι] δοκῆτέ τι Col. Br. e cod. B.
129. τρόπον] τρόποις Ald.
130. ἀγνοίᾳ] ἄγνοια Br.

120. κεκλῇ', i. e. κεκλῇο. Tempus perfectum optativi modi vocis paſſivæ declinatur κεκλήμην, κεκλῇο, κεκλῇτο, quod moneo quia rariſſime occurrit.

126. ἀποστελῶ. Lego, ἀπόστειλαι. Jubet Ulyſſes Neoptolemum ut, cum Philoctetes appropinquaverit, id ſibi per nuncium mandet. Ὁ σκοπὸς eſt is, de quo ſupra, v. 45. et 48.

127. τοῦ χρόνου. Pro χρόνῳ vel κατὰ χρόνον. Vide notata ad Œd. Col. 410. Mox pro δοκῆτ' ἔτι malim δοκῆτέ τι: et ſic Canterus.

130. προσῇ. Aoriſtus modi ſubjunctivi a προσίεμαι, adeoque ſecunda perſona; quod monendum erat ne quis a πρόσειμι deduceret. Euripides in fragm. Antig. vi.

Ὃν δ' ἂν προσῆται Κύπρις, ἥδιστον λαβεῖν.

Οὐ δῆτα, τέκνον, ποικίλως αὐδωμένου,
Δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
Ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε.
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν,
Νίκη τ' Ἀθηνᾶ Πολιὰς, ἣ σώζει μ' ἀεί.

ΧΟΡΟΣ, ΝΕΟΠΤΟΛΕΜΟΣ.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α΄.

Χο. Τί χρὴ, τί χρή με, δέσποτ', ἐν ξένᾳ ξένον
Στέγειν, ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
Φράζε μοι· "τέχνα γὰρ
"Τέχνας ἑτέρας προὔχει,
"Καὶ γνώμα, παρ' ὅτῳ τὸ θεῖον
"Διὸς σκῆπτρον ἀνάσσεται.
Σοὶ δὲ, τέκνον, τόδ' ἐλήλυθε

134. νῷν] νῶϊν Ald. Turneb.
136. με, δέσποτ'] δέσποτά μ' Ald.
140. γνώμα] γνώμας Turneb.
141. σκῆπτρον] σκῆπτον Ald.
142. σοὶ δὲ] σὲ δ', ὦ Ald. Br.

Hesychius: προσίενται, προσάγεται. Προσίεσθαι, προσφέρεσθαι. Προσίεται — προσδέχεται.

132. τῶν ἀεὶ λόγων. Ordo est: δέχου ἀεὶ τὰ συμφέροντα τῶν λόγων.

135. Νίκη τ' Ἀθηνᾶ. Vid. ad Eurip. Ion. 469.

139. προὔχει. Vid. notata ad Œd. Tyr. 388.

140. γνώμα. Ita ed. Ald. meritoque probat Heathius præ vulgata γνώμας.

142. τόδ'. Metro satisfeceris legendo τοῦτ', vel in antistropha προπεσών: quod tamen vetare videtur v. 46. Ed. Ald. σὲ δ', ὦ τέκνον τόδ'.

Πᾶν κράτος Ὠγύγιον· τό μοι ἔννεπε
Τί σοι χρεὼν ὑπουργεῖν.

Ἀνάπαιστοι.

Νε. Νῦν μὲν, ἴσως γὰρ τόπον ἐσχατιαῖς
Προσιδεῖν ἐθέλεις ὅντινα κεῖται,
Δέρκου θαρσῶν· ὁπόταν δὲ μόλῃ
Δεινὸς ὁδίτης τῶνδ᾽ ἐκ μελάθρων,
Πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν,
Πειρῶ τὸ παρὸν θεραπεύειν.

Ἀντιστροφὴ ά.

Χο. Μέλον πάλαι μέλημά μοι λέγεις, ἄναξ,
Φρουρεῖν ὄμμ᾽ ἐπὶ σῷ μάλιστα καιρῷ.
Νῦν δέ μοι λέγ᾽ αὐλὰς
Ποίας ἔνεδρος ναίει,
Καὶ χῶρον τίν᾽ ἔχει· τὸ γάρ μοι
Μαθεῖν, οὐκ ἀποκαίριον,
Μή με λάθῃ προσπεσὼν ποθεν.
Τίς τόπος; ἢ τίς ἕδρα; τίν᾽ ἔχει στίβον,
Ἔναυλον, ἢ θυραῖον;

Ἀνάπαιστοι.

Νε. Οἶκον μὲν ὁρᾷς τόνδ᾽ ἀμφίθυρον

145—50. Choro hæc continuat Ald. 157. προσπεσὼν] πελάσας Br.
151. Poſt ἄναξ addit τὸ σὸν Ald.

143. Ὠγύγιον, *antiquum*. Vid. ad Œd. Col. 1853. In conſtructione cum ἐλήλυθε connecti debet: Ὠγύγιον ἐλήλυθε, *ab antiquo venit.*

146. ὅντινα κεῖται, i.e. καθ᾽ ὅντινα κεῖται ὁ Φιλοκτήτης. Vide citata ad Aj. 30.

Πετρίνης κοίτης.

Χο. Ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστι;

Νε. Δῆλον ἔμοιγ᾽ ὡς φορβῆς χρείᾳ
VII. Vide Lexicon in Ἀκήρυκτον. Ἄλογα. Ἀλωπός. Ἀμόρφωτον. Ἀνταίρουσιν. Ἀπείρονας. Ἀπόθεα. Ἀποπλήκτῳ. Ἀτελῆ. Αὐτόμοιρος. Αὐτόφορτοι. Ἀφοσιώμεναι. Ἐντέλλω. Ἐπαίνους. Ἡγόμην.

ΙΝΑΧΟΣ Σατυρικός.

De argumento vide Toupium, Epiſt. crit. p. 51. et qui dudum ante eum perſpexerat fabulam fuiſſe ſatyricam, Tib. Hemſterhuſium ad Ariſtoph. Plutum, p. 248.

I. Stobæus, Floril. tit. xlvi. p. 179.

Ἐπήνεσ'· ἴσθι δ', ὥσπερ ἡ παροιμία,
Ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ.

Omiſſum in impreſſo Stobæo dramatis titulum addunt codices.

II. Dionyſius Halic. Antiq. i. cap. 25.

Ἴναχε γεννᾶτορ, παῖ κρηνῶν
Πατρὸς Ὠκεανοῦ, μέγα πρεσβεύων
Ἄργους τε γύαις Ἥρας τε πάγοις
Καὶ Τυρσηνοῖσι Πελασγοῖς.

III. Athenæus, lib. xv. p. 668. emendatus a Toupio, Epiſt. crit. p. 57. Σοφοκλῆς ἐν Ἰνάχῳ ἀφροδισίαν εἴρηκε τὴν λάταγα·

Ξένη δὲ κἀφροδισία
Λάταξ ἅπασι νῦν ἐπεισκύπτει δόμοις.

IV. Pollux, ix. ſect. 50. Μέρη δὲ πόλεως, καὶ πανδοκεῖον, καὶ ξενὼν, καὶ, ὡς ἐν Ἰνάχῳ Σοφοκλῆς,

Πανδόκος ξενόστασις.

V. Scholiaſtes Æſchyli ad Prometh. 576. Σοφοκλῆς ἐν Ἰνάχῳ καὶ ᾄδοντα τὸν Ἄργον εἰσάγει.

VI. Schol. Comici ad Plutum, 727. Τὸν Πλοῦτον, Πλούτωνα εἶπε παίζων· ἢ ὅτι καὶ Πλούτωνα αὐτὸν ὑποκοριστικῶς ἐκάλεσεν, ὡς Σοφοκλῆς Ἰνάχῳ· Πλούτωνος δ' ἐπείσοδος· καὶ πάλιν·

Τοιόνδ' ἐμὸν Πλούτων' ἀμεμφίας χάριν.

Idem ad v. 807. Σιπύη δὲ, ἡ ἀρτοθήκη· ταῦτα δὲ ἐξ Ἰνάχου Σοφοκλέους, ὅτε, τοῦ Διὸς εἰσελθόντος, πάντα μετὰ ἀγαθῶν ἐγένετο.

VII. Idem ad Equites, 1147. Κημὸς—ἢν παρόμοιος χύτῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ.

VIII. Idem ad Aves, 1203. Κυνῆ δὲ, ὅτι ἔχει περικεφαλαίαν τὸν πέτασον· ὡς Ἑρμῆς ἄγγελος ὢν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ ἐπὶ τῆς Ἴριδος·

Γυνὴ τίς ἥδε; κυκλὰς Ἀρκάδος κυνῆς.

Vide Toupium, Epist. crit. p. 52.

IX. Idem ad Concionantes, 80. Τȣ Πανόπτȣ· τοῦ τὴν Ἰὼ φυλάττοντος· αἰνίττεται δὲ ὡς ὄντος αὐτȣ δεσμοφύλακος· ἀναφέρει δὲ τȣτον ἐπὶ τὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ Ἄργον.

X. Vide Lexicon in Ἀελλόθριξ. Ἀναιδείας. Ἄναυλα. Ἀλωπός. Ἀντίπλαστον. Ἀράχνη. Ἀρκὰς κυνῆ. Βȣ. Ἐπίκρȣμα. Κυάμῳ. Παλίνσκιον.

ΙΝΩ.

Ex hoc dramate desumtus videtur senarius, quo facete utitur helluo apud Athenæum, lib. viii. p. 344. Βίων δὲ, προαρπάσαντός τινος τὰ ἐπάνω τοῦ ἰχθύος, στρέψας καὶ αὐτὸς καὶ διαψιλώσας, φαγὼν ἐπεῖπεν·

Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο.

In ea quæ præcedit de alio helluone narratiuncula citatur itidem Tragici nostri, absque auctoris et dramatis indicio, versus ex Antigona 725.

Vide Lexicon in Ἄλυτον.

ΙΞΙΩΝ.

Schol. Apollonii ad Argonaut. iv. 14. Παρὰ τὸ ἶψαι Σοφοκλῆς ἐν Ἰξίονι δίψιον φησὶ τὸ βεβλαμμένον. Καὶ Ὅμηρος· Πολυδίψιον Ἄργος ἱκοίμην· πολλάκις βεβλαμμένον.

ΙΟΒΑΤΗΣ.

Iobates rex Lyciæ pater fuit Sthenebœæ. Vide Apollodori Biblioth. ii. 3. (s. p. 87.) et Hygini fab. lvii.

I. Stobæus, Floril. tit. cxx. p. 489.

Τὸν Ἀΐδαν γὰρ οὐδὲ
Γῆρας οἶδε φιλεῖν.

II. Vide Lexicon in Ἀφύλλωτον.

ΙΟΛΑΟΣ.

Aristophanes, Equitibus, 496.

Ἀλλ' ἴσθι χαίρων, καὶ πράξειας
Κατὰ νȣν τὸν ἐμόν.

ταῦτα δὲ, inquit Scholiastes, παρὰ τὰ Σοφοκλέȣς ἐξ Ἰολάȣ.

ΙΠΠΟΝΟΟΣ.

Dramatis hujus meminit Pollux, iv. sect. 111. ubi docet a gra-

vitate Tragœdiæ alienum esse, poetas de rebus ad semetipsos pertinentibus ad theatrum verba facere ex Chori persona, quæ materia est comicarum Παραβάσεων: id tamen instituisse sæpius Euripidem; at Sophoclem, qui melior eo videri volebat, fecisse rarius, ut in Hipponoo. Fuit autem Hipponous rex Oleni, Peribœæ pater, quæ ab Œneo vitiata Tydeum peperit. Vide Apollodori Biblioth. i. viii. 4. (f. p. 37.) *Quæ plura ibi narrantur de parentis in filiam ira, argumentum facere potuere tragœdiæ Sophoclis.* Verba sunt Heynii mei in egregio ad Apollodorum Commentario, p. 612.

I. Stobæi Ecl. p. 143. et Clemens, Stromat. vi. p. 742.

Πρὸς ταῦτα κρύπτε μηδὲν, ὡς ὁ πάνθ᾿ ὁρῶν
Καὶ πάντ᾿ ἀκούων, πάντ᾿ ἀναπτύσσει χρόνος.

Vide Agellii lib. xii. cap. xi.

II. Stephanus: Ὤλενος, πόλις Ἀχαΐας, καὶ Αἰτωλίας, θηλυκῶς λεγομένη. Σοφ. ἐν Ἱππόνῳ·

Ἐξ Ὠλένου γῆς φορβάδος κομίζομαι.

III. Vide Lexicon in Ἀπαλέξασθαι. Ἀπαρθένευτος.

ΙΡΙΣ Σατυρική.

I. Athenæus, lib. xiv. p. 646. Ἴτριον, πεμμάτιον λεπτὸν διὰ σησάμου καὶ μέλιτος γενόμενον—Σοφ. Ἴριδι·

Ἐγὼ δὲ πεινῶσ᾿ αὖ πρὸς ἴτρια βλέπω.

II. Vide Lexicon in Εὔωρος. Μίαν μίαν. Quibus in glossis male citatur Σοφ. Ἔριδι. Drama ab Iride denominatum fuisse videtur.

ΙΦΙΓΕΝΕΙΑ.

I. Stobæus, Floril. tit. xxx. p. 135.

Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή·
Θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.

II. Athenæus, lib. xii. p. 513.

Νόει πρὸς ἀνδρὶ σῶμα πουλύπου ὅπως
Πέτρᾳ τραπέσθαι γνησίου φρονήματος.

Intricata et male structa verba corruptelam ostendunt. Grotius in fine prioris senarii legit ὅμως, quod nihil juvat, et sic vertit:

Similem esse polypo crede, qui, prout est lapis
Ad quem applicatur, vertere ingenium solet.

III. Vide Lexicon in Ἀκρουχεῖ. Ἀπυνδάκωτος. Βασιλή. Πενθερός. Ὑπόφρον.

ΙΦΙΚΛΗΣ.

Iphicles Amphitryonis et Alcmenæ filius, eodem partu, quo Hercules, editus. Ad hoc nomen diverſos fabularum titulos refero, quos in libris corruptos eſſe opinor. Nam quæ citatur a Scholiaſta noſtro ad Œd. Col. 827. ΙΦΙΚΛΕΙΑ, nulla fuit; nec quæ a Polluce laudatur ΙΟΚΛΗΣ. Sophocles his in locis citari debuit ἐν Ἰφικλεῖ vel forte ἐν Ὀϊκλεῖ. Fuit autem Oïcles pater Amphiarai, ad quem confugit nepos Alcmæon, a Furiis maternæ cædis ultricibus agitatus. Vide Apollodorum iii. vii. 5. (ſ. p. 197.) Nihil in his conjecturis certi; nec magni momenti res eſt.

I. Pollux, x. ſect. 39. Καὶ τύλη δὲ παρ' Εὐπόλιδί ἐστιν ἰάζοντι ἐν τοῖς Κόλαξι· καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ Ἰοκλεῖ λέγοντι·

Ἀλλὰ καὶ λινοῤῥαφῆ
Τυλεῖα.

II. Etymol. M. Βουθοίη, πόλις τῆς Ἰλλυρίδος. Σοφ. Ὀνομακλεῖ·

Βουθοίη Δρίλωνος ἐπὶ προχοῇσιν ἐνάσθη.

Heathio in Hercule ſatyrico verſus hic hexameter a quovis alio quam a Sophocle profectus videtur. Neſcio quare. Num quia hexameter eſt? At tales in aliis dramatibus erant. Vide in Thamyride.

ΙΧΝΕΥΤΑΙ Σάτυροι.

Vide Lexicon in Ἐνήλατα. Ὁρμενος. Ῥικνός.

ΙΩΝ.

Stobæus, Floril. tit. ciii. p. 425.

Ἐν Διὸς κήποις ἀροῦσθαι
Μόνον εὐδαίμονας ὄλβους.

ΚΑΜΙΚΙΟΙ ἢ ΜΙΝΩΣ.

Sincerus hic eſt fabulæ titulus, quam alii ΚΑΜΙΚΟΙ, alii ΚΩΜΙΚΟΙ inſcribunt. Oppidum Siciliæ eſt Camicus. Vide Stephanum in Κάμικος. A perſonis quibus conſtabat chorus denominata fabula, ut Μυκηναῖαι, Λαρισσαῖοι, Cratini Σερίφιοι, qui paſſim etiam gemello errore Σέριφοι appellati occurrunt. Vide Hemſterhuſium ad Pollucem, x. ſect. 156. Argumentum erat mors Minois a Cocali filiabus interemti. Videndi præter Diodorum Sicul. in Dædali hiſtoria, Scholiaſtes Pindari ad Nem. iv. 95. et Pauſan. p. 531.

I. Athenæus, p. 86. Τῶν ϛραβήλων μνημονεύει καὶ Σοφ. ἐν Καμικίοις οὕτως·

Ἁλίας ϛραβήλȣ τῆσδε τέκνον, εἴ τινα
Δυναίμεθ' εὑρεῖν.

II. Idem, p. 388. Πέρδιξ· τοῦ ὀνόματος ἔνιοι συϛέλλȣσι τὴν μέσην συλλαβὴν, ὡς Ἀρχίλοχος· πολὺ δέ ἐϛι τὸ ἐκτεινόμενον παρὰ τοῖς Ἀττικοῖς. Σοφ. Καμικίοις·

Ὄρνιθος ἦλθ' ἐπώνυμος
Πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις.

III. Suidas in Πέρδικος ἱερόν—Σοφοκλῆς δὲ ἐν Καμικίοις, τὸν ὑπὸ Δαιδάλȣ ἀναιρεθέντα Πέρδικα εἶναι τοὔνομα. Sophoclem ſecutus eſt Ovidius, quem vide Metam. viii. 236.

IV. Clemens Alex. Strom. vi. p. 741.

Οὐκ ἔϛι τοῖς μὴ δρῶσι σύμμαχος τύχη.

V. Vide Lexicon in Κωχεύȣσιν.

ΚΗΔΑΛΙΩΝ Σατυρικός.

I. Suidas: Λευκὴ ϛάθμη· ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειȣμένων· ἢ ἐπὶ τῶν μηδὲν συνιέντων. Σοφοκλῆς Κηδαλίωνι·

Τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι,
Οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ ϛάθμη.

II. Idem: Ὄνȣ σκιά. Καὶ, περὶ ὄνȣ σκιᾶς. Σοφ. Κηδαλίωνι·

Ὅ, τι ἂν γένηται, ταῦτα πάντ' ὄνȣ σκιά.

III. Athenæus, p. 164. Καλὰ γὰρ τὸν Σοφοκλέȣς Κηδαλίωνα, ἐϛὶ

Μαϛιγίαι, κέντρωνες, ἀλλοτριοφάγοι.

IV. Vide Lexicon in Αὐτοκτίϛȣς. Δέατος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Fabulam hanc ſolus ex omni antiquitate laudat Erotianus in lexico Hippocrateo, ubi hæc leguntur verba: Ἀντεόνθεοι· τὸν βλάβης ὑπονοούμενον αἴτιον ἔσεσθαι ἄνθρωπον. Ἀντέον δ' ἐκάλȣν οἱ παλαιοὶ τὸν σώφρονα· ὡς καὶ Σοφοκλῆς ἐν Κλυταιμνήϛρᾳ λέγων· Τὸν δὲ ἄντεον περιδινέοντα οὐχ ὁρᾶτε, καὶ δεῖμα προσπνέοντα ἀντίας θεοῦ. Sunt iſta ſane quam corrupta, et neſcio an emendandi conatum fruſtratura: huic itaque ſuperſedeo. Sed quid ſuſpicer, interim non celabo: nempe ad ſuperſtitem Electram iſta pertinere, cujus quum finis ſit Clytæmneſtræ ultio et mors, hoc titulo potuit a Veteribus citari. Prolata ab Erotiano verba, ſi quo in codice ſincera reperirentur, lacunam forte explerent, quæ eſt in Electra, v. 1458. Sophoclis

Clytæmnestram laudatam fuisse ab Hesychio in Ἀράζω opinati sunt viri quidam docti.

ΚΟΛΧΙΔΕΣ.

Idem in titulo error qui supra in Αἰχμαλωτίσιν. Κόλχοι laudatur fabula, cujus index Κολχίδες. Sic auctor argumenti Promethei Æschylei: Κεῖται δὲ ἡ μυθοποιΐα ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κόλχοις.

I. Stobæus, Floril. tit. xxii. p. 115.

Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα.

II. Athenæus, p. 602. Σοφοκλῆς ἐν Κολχίσι περὶ Γανυμήδους τινὰ λόγον ποιούμενος·

Μηροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα.

III. Suidas: Ἀνθυπουργῆσαι χάριν, τὸ ἀνταποδοῦναι. Σοφ. Κολχίσιν·

Ἦ φῂς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν;

Hic versus sine dubio Medeæ fuit operam Jasoni promittentis, sed sub ea conditione, ut ipse gratiam pro benefactis referret, sibique vicissim novæ nuptæ maritus vacaret. Hemsterhusius ad Aristoph. Plutum, p. 343.

IV. Schol. Apollonii Rhodii ad iii. 1371. Σοφοκλῆς ἐν Κολχίσι πεποίηκε τοῦ ἀγγέλου τὸν Αἰήτην πυθόμενον περὶ τῶν προειρημένων οὕτως·

Ἦ βλαστὸς οὐκ ἔβλαστεν οὑπιχώριος,
Καὶ κάρτα φρίξας εὐλόφῳ σφηκώματι,
Χαλκηλάτοις ὅπλοισι μητρὸς ἐξέδυ;

Confer præstantissimi Valckenarii notam ad Euripidis Phœnissas, p. 256. Pravam lectionem σφηνώματι inepte tuetur Heathius, quo sensu σφηκώματι repositum fuerit haud assequi se fassus. Scilicet lexica sibi facta non arbitrabatur. Henr. Stephani thesaurus cum edocuisset quid σφήκωμα sit. Hujus dramatis meminit rursus idem Scholiasta, cujus locum damus infra in Scythis.

V. Vide Lexicon in Ἐπαλλαχθεῖσα. Ἦσμεν. Κινάρα. Πέμφιξ.

ΚΡΕΟΥΣΑ.

Creüsæ memorantur plurimæ, e quibus quamnam in hoc dramate exhibuerit Sophocles, e superstitibus reliquiis haud facile conjicere est. Probabile est argumentum ex Attica historia petitum fuisse, Creüsamque intelligo Erechthei filiam Xutho nuptam, cujus in Euripidis Ione præcipuæ sunt partes.

I. Stobæus, Floril. tit. vii. p. 47.

Ὅστις δὲ τόλμῃ πρὸς τὸ δεινὸν ἔρχεται,
Ὀρθὴ μὲν ἡ γλῶσσ' ἐστὶν, ἀσφαλὴς δ' ὁ νοῦς.

II. Idem, tit. xii. p. 79.

Καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν·
Ὅτῳ δ' ὄλεθρον δεινὸν ἡ 'λήθει' ἄγει,
Ξυγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν.

III. Idem, tit. xxxviii. p. 151.

Οὔτε γὰρ, ὦ φίλε, γάμον, οὔτ' ὄλβον ἂν
Ἔκμετρον ἔνδον γ' εὔξαιμ' ἂν ἔχειν.
Φθονεραὶ γὰρ ὁδοί.

IV. Idem, tit. xci. p. 373.

Καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους, ἄναξ,
Ὧδ' ἀντέχεσθαι· καὶ γὰρ οἱ μακρὸν βίον
Θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως
Ἀπρὶξ ἔχονται· κἄστι πρὸς τὰ χρήματα
Θνητοῖσι τἄλλα δεύτερ'· εἰσὶ δ' οἵ τινες
Αἰνοῦσιν ἄνοσον ἄνδρ'· ἐμοὶ δ' οὐδεὶς δοκεῖ
Εἶναι, πένης ὢν, ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.

V. Idem, tit. ciii. p. 427.

Κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι·
Λῷστον δὲ τὸ ζῆν ἄνοσον· ἥδιστον δ' ὅτῳ
Πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν.

Reg. Stobæi cod. dat v. 2. λῷστον δὲ τὸ ζῆν, quomodo jam emendaverat Pierſonus ad Mœridem, p. 300. Expreſſit Sophocles ſententiam Theognidis in editione noſtra, v. 249.

Κάλλιστον τὸ δικαιότατον· λῷστον δ' ὑγιαίνειν·
Ἥδιστον δὲ τυχεῖν, οὗ τις ἕκαστος ἐρᾷ.

VI. Vide Lexicon in Ἀκουστά. Ἀνέκτημαι. Ἰσοθάνατον.

ΚΡΙΣΙΣ Σατυρική.

Inauditus is eſt ad hanc uſque diem et inexſpectatus Sophoclei dramatis titulus, quem ſuadente elegantiſſimæ doctrinæ viro Thoma Tyrwhitt, auctoribus Herodiano et Dracone Stratonicenſi, reſtituimus, in malam rem abire juſſis et ΚΡΗΣΙΝ, et ΧΡΗΣΕΙ, et ΧΡΥΣῌ, quibus titulis nullas umquam Tragicus noſter fabulas edidit. Jocoſum autem hujus ſatyrici dramatis argumentum expoſitum habes in Luciani dialogo, cujus eadem eſt inſcriptio, ΘΕ-

ΩΝ ΚΡΙΣΙΣ. Unde jam facile intelligere eſt, cur Veneris et Minervæ diverſus ornatus in eo deſcriptus fuerit.

I. Athenæus, p. 687. Σοφοκλῆς ὁ ποιητὴς ἐν Κρίσει τῷ δράματι, τὴν μὲν Ἀφροδίτην, ἡδονήν τινα ἔσαν δαίμονα, καὶ μύρῳ ἀλειφομένην παράγει, καὶ κατοπτριζομένην· τὴν δ' Ἀθηνᾶν, φρόνησιν ἔσαν καὶ νῦν, ἔτι δ' ἀρετὴν, ἐλαίῳ χρωμένην, καὶ γυμναζομένην. Inter μύρον et ἐλαῖον quid interſit docet Spanheim ad Callim. L. P. 16.

II. Schol. Comici ad Ranas 193. Ὅτι δὲ καὶ κρέας τὸ σῶμα, καὶ παρὰ Σοφοκλεῖ ἐν Κρίσει·

Τοιῦτος ὢν ἄρξεις σὺ τῦδε τῦ κρέως.

Hæc, ut opinor, dicebat Venus Paridi, promittens ei Helenæ nuptias, quam modo pulcherrimam eſſe ſignificaverat. Proinde abſque interrogatione lego. Grotius, cui de dramatis argumento nihil ſuboluerat, vertit:

Tun' ergo talis imperes huic corpori?

III. Pollux, vi. ſect. 83. Ἔςι μέν τοι καὶ τὸ τῆς μαγίδος ὄνομα παρὰ Σοφοκλεῖ ἐν Κρίσει·

Τᾶς Ἑκαταίας μαγίδος δόρπον.

De Hecates cœna vide Hemſterhuſium ad Lucianum, tom. i. p. 330.

IV. Ammonius de Diff. Voc. in Βωμός—Παρὰ δὲ Εὐριπίδῃ ἐσχάρα ἀντὶ τῦ βωμῦ κεῖται ἐν Πλεισθένει·

Μηλοσφαγεῖτε δαιμόνων ἐπ' ἐσχάραις.

καὶ Σοφοκλῆς ἐν Χρύσῃ. Lego Κρίσει.

V. Apollonii lexicon Homericum in Ἰονθάδος—Τὰς γὰρ τῶν τριχῶν ῥίζας ἴονθυς λέγει Σοφοκλῆς ἐν Κρίσει· (male editum ἐν Χρύσῃ)

Ἐγὼ μίαν μὲν ἐξιονθίζω τρίχα.

Inde corrigenda Heſychii gloſſa: Ἐξιονθίζω τρίχα· ἐκδίδωμι· ἔςι γὰρ ἴονθος, ῥίζα τριχῶν, ἢ ὑπερέχον.

VI. Vide Lexicon in Βυδοί. Φάρος, qui locus eſt claſſicus.

ΚΩΦΟΙ Σάτυροι.

Fabulæ titulus eſt Κωφοί. Nomen Σάτυροι pars inſcriptionis non eſt, ſed a Grammaticis additum, quo indicaretur drama eſſe ſatyricum. Vide Bentleii Ep. ad Millium, p. 15.

I. Scholiaſtes Nicandri ad Theriaca, p. 40. edit. Aldinæ: Ἄλλοι δὲ ὕτω τὸν μῦθον φασίν. Προμηθέα τὸ πῦρ κλέψαντα καὶ τοῖς ἀνθρώποις δωρησάμενον οἱ λαβόντες ἐμήνυσαν, οὐ καλὴν τῆς χάριτος τίνοντες ἀμοιβήν· ἐφ' οἷς τὸν Δία φασὶν ἐπαινέσαντα, φάρμακον αὐτοῖς ἀγη-

ϕασίας δοῦναι· τοὺς δὲ λαβόντας ἀποφέρειν τὸ δωρηθὲν ἐπὶ ὄνε· τὸν δὲ, δίψει τειρόμενον ἐλθεῖν εἰς κρήνην, ἣν ἐφύλασσεν ὁ ὄφις· καὶ τε ποτοῦ ὀρεγόμενος, ἀπέδοτο τε γήρως τὸ φάρμακον· διὸ πάντας μὲν τὲς ὄφεις καθ᾽ ἕκαςον νεάζειν ἐνιαυτὸν, ἀποδυομένες τὸ γῆρας· τὸν δὲ ὄφιν τῆς κρήνης φύλακα καταλαβεῖν τὸ δίψος, ὅθεν τοῖς δηχθεῖσιν ἐμποιεῖ δίψαν· ἔςι δὲ ὁ μῦθος παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς. Eamdem fabulam narrat Ælianus de Nat. Anim. vi. 51.

II. Schol. Apollonii Rhodii ad i. 972. Λέγεται δὲ ἴελος καὶ ζῶόν τι, θηρίδιον πολύπεν· ἑκατέρωθεν γὰρ ἔχει πολλὲς πόδας, ὥσπερ ἡ σκολόπενδρα. Θεόφραςος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιςολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι, ὡς παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς σατύροις·

Κυλισθεὶς ὥς τις ὄνος ἰσόσπριος.

Huc pertinet Hesychii glossa: Ὄνος ἰσόσπριος· ἔςι δὲ ζῶον πολύπεν, ὀσπρίῳ ὅμοιον, ὃ καὶ ἴελον τινὲς φάσιν. Gallis appellatur *Cloporte.* Facile poterat ignarissimus quisque levem scripturæ mendam in Tragici verbis eluere. Vellem Heathius conjecturæ parsisset. Satius erat lexica consulere.

III. Idem ad i. 1126. Ὅτι δὲ Νύμφη τις Οἰαξίδος γῆς δραξαμένη τὲς καλεμένες Ἰδαίες Δακτύλες ἐποίησε, παρὰ Στησιμβρότε εἴληφε· καὶ ὅτι διὰ τὸ ῥυῆναι αὐτὲς διὰ τῶν χειρῶν, Δάκτυλοι κληθῆναι. Σοφοκλῆς δὲ αὐτὲς Φρύγας καλεῖ ἐν Κωφοῖς σατύροις. Confer Zenobium, Prov. iv. 80. Κέλμις ἐν σιδήρῳ, ubi male citatur Sophocles ἐν Σατύροις, et Wesselingium ad Diodorum Sic. tom. i. p. 381. 4.

ΛΑΚΑΙΝΑΙ.

Fabulæ argumentum e parva Iliade sumtum testatur Aristoteles de Poetica, cap. 23.

I. Pollux, ix. sect. 49. Ἔςι δὲ ἡ ψαλὶς, εἶδος οἰκοδομήματος· ἤπου καὶ Σοφ. ἐν Λακαίναις λέγει·

Στενὴν δ᾽ ἔδυμεν ψαλίδα, κοὐκ ἀβόρβορον.

II. Priscianus, lib. xviii. Attici, ἄρχω τεδε καὶ τόδε, ἀντὶ τοῦ κατάρχω. Σοφ. Λακαίναις·

Θεοῖς ἄρ᾽ ἔ ποτ᾽, εἴ τι χρὴ βροτὸν λέγειν,
Ἄρξασι Φρυξὶ τὴν κατ᾽ Ἀργείες ὕβριν,
Ξυναινέσαιμ᾽ ἂν ταῦτα· μὴ μάχε βίᾳ.

Male Priscianus in ultimo versu ξυναινῶ ταῦτα.

III. Strabo, lib. viii. p. 364. Τὴν δὲ Λᾶν οἱ Διόσκεροι ποτὲ ἐκ πολιορκίας ἑλεῖν ἱςορῦνται, ἀφ᾽ ε δὴ Λαπέρσαι προσηγορεύθησαν. Καὶ Σοφοκλῆς λέγει πε·

Νὴ τὼ Λαπέρσα, νὴ τὸν Εὐρώταν τρίτον,
Νὴ τὰς ἐν Ἄργει καὶ κατὰ Σπάρτην θεούς.

Hos verſus ad Lacænas pertinere probabiliter cenſet Meurſius.

ΛΑΟΚΟΩΝ.

I. Harpocration: Ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν—εἶεν ἂν καὶ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς, οἱ πρὸ τῶν οἰκιῶν βωμοὶ, ὥς φασι Κρατῖνος καὶ Μένανδρος, καὶ Σοφοκλῆς ἐν τῷ Λαοκόωντι, μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν, φησί·

Λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ
Σμύρνης σταλαγμοὺς, βαρβάρων εὐοσμίας.

Confer Suidam in Ἀγυιαί: et ſcholia ad Comici Veſpas, 870. ad quem locum hos verſus protulit Fl. Chriſtianus cum ridicula verſione.

II. Scholiaſtes Comici ad Ranas, 678.

Πόσειδον, ὃς Αἰγαίου
Μέδεις πρωνὸς, ἢ γλαυκᾶς
Μέδεις εὐανέμου λίμνας
Ἐφ' ὑψηλαῖς σπιλάδεσσι
Στομάτων.

III. Dionyſius Halic. Antiq. i. p. 38.

Νῦν δ' ἐν πύλαισιν Αἰνέας ὁ τῆς θεοῦ
Πάρεστ', ἐπ' ὤμων πατέρ' ἔχων κεραυνίου
Νώτου καταστάζοντα βύσσινον φάρος.
Κυκλεῖ δὲ πᾶσαν οἰκετῶν παμπληθίαν·
Συνοπάζεται δὲ πλῆθος, οὐχ ὅσον δοκεῖς,
Οἳ τῆσδ' ἐρῶσι τῆς ἀποικίας, Φρυγῶν.

In 3. verſu proba eſt lectio νώτου, pro quo Plutarchus, Moral. p. 100. aliorſum deflexa ſententia citat μότου· κεραυνίου valet κεραυνοβλήτου, *fulminis adflati ventis*, ut loquitur Virgilius, Æneid. ii. 648. De ſignificatione verbi κυκλεῖ vide Toupii Epiſt. Crit. p. 31. Emendatos duos ultimos verſus damus acutiſſimi Tyrwhitti certa et eleganti conjectura.

IV. Stobæus, Floril. tit. xxix. p. 129.

Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.

Stobæi cod. Vindobon. in quo ſingulis fragmentis multo diſtinctius quam in aliis libris præpoſiti ſcriptorum et operum tituli, ita ut ſumme laudanda hac in parte librarii diligentia omnem eximat dubitationem de cujuſque fragmenti auctoritate, hunc verſum

tamquam e Sophoclis Laocoonte deſignat; et ſequentem, cui male adhæret vulgo hujuſce titulus, Sophocli nude tribuit, non adjecto fabulæ indice.

V. Vide Lexicon in Καταῤῥάκτης.

ΛΗΜΝΙΑΙ.

I. Notum dramatis argumentum, Argonautarum in Lemnum appulſus, cum Lemniis mulieribus congreſſus, quem narrat Argonauticorum poeta, lib. i. v. 609. Correctum fuiſſe videtur poſt primam emiſſionem, iterumque in ſcenam inductum. Nam a Stephano in Δώτιον laudantur Λημνίαι πρότεραι, e quibus hanc χρῆσιν profert, emendatam ab Adr. Heringa, Obſerv. p. 235.

Φερητίδης τ᾽ Ἄδμητος, ἠδ᾽ ὁ Δωτιεὺς
Λαπίθης Κορωνός.

II. Schol. Pindari ad Pyth. iv. 303. Πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τοὺς εἰς τὸ Ἀργῷον εἰσελθόντας σκάφος.

III. Schol. Apollonii Rhodii ad i. 773. Ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις, Ἡρόδωρος ἱστορεῖ. Αἰσχύλος δὲ ἐν Ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις τοῖς Ἀργοναύταις, μέχρις οὗ ὅρκον ἔλαβον παρ᾽ αὐτῶν ἀποβάντας μίσγεσθαι αὐταῖς. Σοφοκλῆς δὲ ἐν Λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτὰς συνάψαι φησίν.

IV. Etymol. M. Ἄθως, ἀκρωτήριον Θράκης. Σοφοκλῆς,

Ἄθως σκιάζει νῶτα Λημνίας βοός.

ἐν γὰρ τῇ Λήμνῳ βοῦς χαλκῆ ἵδρυται, ἐφ᾽ ἣν τοῦ Ἄθω ἡ σκιὰ φθάνει. E Lemniis eſt hic verſus procul dubio. Confer Apollonium, Argon. i. 601. Deteriorem lectionem amplexus Grotius Λημνίας ἁλὸς, vertit in Excerptis:

Athos obumbrat Lemnii dorſum maris.

Vide Iſ. Voſſii obſervat. ad Melam, ii. 2. p. 119.

V. Vide Αἰχμαλωτίδων fragm. vii. et Lexicon in Ἀξύμβλητον. Ἀσάλπικτον. Αὐτὸ δείξει.

ΜΕΛΕΑΓΡΟΣ.

Ad hanc fabulam pertinent verſus a Luciano laudati in Convivio, p. 436. ubi Hetœmocles Stoicus iſta ſcripſiſſe fingitur: Εἰ δὲ δείπνου ἕνεκα ὀργίζεσθαί σοι δοκῶ, τὸ κατὰ τὸν Οἰνέα ἐννόησον· ὄψει γὰρ καὶ τὴν Ἄρτεμιν ἀγανακτοῦσαν, ὅτι μόνην αὐτὴν οὐ παρέλαβεν ἐκεῖνος ἐπὶ τὴν θυσίαν, τοὺς ἄλλους θεοὺς ἑστιῶν· φησὶ δὲ περὶ αὐτῶν Σοφοκλῆς·

Συὸς μέγιςον χρῆμ' ἐπ' Οἰνέως γύαις
Ἀνῆκε Λητῦς παῖς ἑκηϐόλος θεά.

Vide Lexicon in Ἀντίϐοιον. Ἰξοφόρυς. Κυάμῳ. Φίλανδρον.

ΜΕΜΝΩΝ.

Dramatis hujus meminit auctor argumenti Ajacis.

ΜΥΣΟΙ.

I. Stobæus, Floril. tit. xxvi. p. 121.

Ὡς τοῖς κακῶς πράσσυσιν ἡδὺ καὶ βραχὺν
Χρόνον λαθέσθαι τῶν παρεςώτων κακῶν.

II. Idem, tit. xcviii. p. 405.

Ἄμοχθος γὰρ ὐδείς· ὁ δ'
Ἥκις' ἔχων μακάρτατος.

III. Strabo, p. 356. C.

Ἀσία μὲν ἡ ξύμπασα κλῄζεται, ξένε,
Πόλις δὲ Μυσῶν Μυσία προσήγορος.

IV. Athenæus, p. 183. Μνημονεύει δὲ τῦ τριγώνυ τούτυ καὶ Σοφοκλῆς, ἐν μὲν Μυσοῖς οὕτως·

Πολὺς δὲ Φρὺξ τρίγωνος, ἀντίσπαςά τε
Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδία.

καὶ ἐν Θαμύρᾳ. Ἀριςοφάνης δ' ἐν Δαιταλεῦσι, καὶ Θεόπομπος ἐν Πηνελόπῃ. Εὔπολις δ' ἐν Βάπταις φησίν.

Ὡς καλῶς μὲν τυμπανίζει,
Καὶ διαψάλλει τριγώνοις.

Eupolidis versus dimetri sunt trochaïci.

V. Pollux, x. sect. 186. Φαίης δ' ἂν καὶ σισύρναν, Σοφοκλέυς ἐν Μυσοῖς λέγοντος·

Ψαλίδας, τιάρας, καὶ σισυρνώδη ςολήν.

VI. Vide Lexicon in Ἄϐολος. Ἀποϐάθρα. Ἀποσύρει. Ἀπύρυ. Ἀγραφής. Ἀφθίτυς.

ΜΩΜΟΣ Σατυρικός.

Citatur Sophocles in Μώμῳ et in Κώμῳ. Alteruter titulus ex altero depravatus est. Uter verior sit dijudicare haud facile est.

Vide Lexicon in Ἀλώπηξ. Ἀμφίον. Ἀναςύψαι. Ἄνθρωσκε. Ἀποσκόλυπτε. Ἄρπην.

ΝΑΥΠΛΙΟΣ.

Duplex inscriptio fabulæ: nam alias citatur ΝΑΥΠΛΙΟΣ ΚΑΤΑΠΛΕΩΝ, alias ΝΑΥΠΛΙΟΣ ΠΥΡΚΑΕΥΣ. Nauplius audita filii

ſui morte, Græcorum caſtra ad Trojam adiit, quumque ab iis fruſtra petiiſſet, ut a fraudis auctoribus qua Palamedes damnatus fuerat, pœnas exigerent, in Græciam revertens diverſas ad urbes appulit, ubi falſis nuntiis primariorum ducum uxores quæ a mœchis ſollicitabantur in crimen impulit. Rem narrat Tzetzes ad Lycophr. 384. Ἄπρακτος δὲ ὑποστρέψας—περιπλέων λοιπὸν τὰς χώρας τὰς Ἑλληνίδας, παρεσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας μοιχευθῆναι, Κλυταιμνήστραν τὴν τοῦ Ἀγαμέμνονος Αἰγίσθῳ· Αἰγιάλειαν τὴν Διομήδους τῷ υἱῷ Σθενέλου· Μήδαν δὲ τὴν Ἰδομενέως ὑπὸ Λεύκου. Si diverſa fuerunt dramata, ex hoc Nauplii facto ſumtum fuerit prioris argumentum: materia autem poſterioris nota, fax in Caphareo promontorio edita, qua conſpecta Græci, a Troja navigantes, portum eſſe crediderunt, et ad rupes adliſi naufragio perierunt.

I. Schol. Pindari ad Iſthm. vi. 10. Τὸν δὲ τρίτον κρατῆρα Διὸς Σωτῆρος ἔλεγον, καθὰ καὶ Σοφοκλῆς ἐν Ναυπλίῳ.

Ζεῦ παυσίλυπε, καὶ Διὸς Σωτηρίου
Σπονδὴ τρίτου κρατῆρος.

II. Stephanus in Ἀσπίς—Σοφ. ἐν Ναυπλίῳ καταπλέοντι·

Ἀλλ᾽ ἀσπιδίτην ὄντα καὶ πεφραγμένον,
Ὡς ἀσπιδοῦχος, ἢ Σκύθης τοξεύμασι.

III. Stobæus, Floril. tit. civ. p. 427.

Τῷ γὰρ κακῶς πράσσοντι μυρία μία
Νύξ ἐστιν· εὖ παθόντας εἶθ᾽ ἑτέρα θανεῖν.

Sic ſcripti ſunt hi verſus in Reg. cod. Legendum videtur εὖ παθόντα θἠτέρα θανεῖν, ſubintellecto χρὴ, aut ſimili verbo, quod in ſubſequente verſu, ab excerptore prætermiſſo, ſubjectum fuiſſe probabile eſt. Sententia eſt: *Infelici nox una mille eſſe videtur; cui bene eſt, ei ſtatim altero die moriendum eſt.* Grotius Græca a ſe parum feliciter emendata ſic vertit:

Mala namque paſſo mille ſi felicior
Nox una detur, altera mors imminet.

IV. Ariſtides, tom. i. p. 259. de incendio quo deflagravit Cereris templum: Ποίας Ναυπλίου ΠΑΓΑΣ ΥΠΟΠΥΡΟΥΣ, ὡς ἔφη Σοφοκλῆς, ἄξιον τῇ πυρκαϊᾷ ταύτῃ παραβαλεῖν;

V. Achilles Tatius, Iſag. ad Arati Phænom. cap. i. Σοφοκλῆς δὲ Παλαμήδει ἀνατίθησιν· λέγοντα γὰρ Ναύπλιον εἰσάγει.

Οὗτος δ᾽ ἐφεῦρε τεῖχος Ἀργείων στρατῷ,
Σταθμῶν, ἀριθμῶν, καὶ μέτρων εὑρήματα·
Κἀκεῖν᾽ ἔτευξε πρῶτος ἐξ ἑνὸς δέκα,

Κἀκ τῶνδέ γ' αὖθις εὗρε πεντηκοντάδας
Εἰς χίλι'· οὗτος εἷς στρατῷ φρυκτωρίαν,
Ὕπνου φυλάξεις, ἔς θ' ἕω σημάντρια
Ἔδειξε, κἀνέφηνεν οὐ δεδειγμένα·
Ἐφεῦρε δ' ἄστρων μέτρα καὶ περιστροφὰς,
Τάξεις τε ταύτας, οὐράνιά τε σήματα,
Ναῶν τε ποιμαντῆρσιν ἐνθαλασσίων
Ἄρκτου στροφάς τε καὶ Κυνὸς ψυχρὰν δύσιν.

Sic optime hos versus disposuit et emendavit Heathius, sagaciter observans eos e Palamede non esse, quum in illo dramate Nauplii personae locus non fuerit. Ista v. 3. ἔτευξε ἐξ ἑνὸς δέκα, et quae sequuntur, pertinent ad Palamedis commentum in militari disciplina, quo facilem modum reperit militum multitudinem numerandi, divisam in δεκάδας, πεντηκοντάδας, χιλιάδας: qua de re videndus Dio Chrysost. orat. de Exsilio, p. 225. Grotii versionem, etiamsi Graecis, ut oportuit, digestis, non usquequaque congruat, subjicimus tamen:

Hic Graeca decuit castra vallo includere:
Numerosque mensurasque certosque ordines
Idem ille reperit, et suas rebus notas:
Jussitque primum surgere ex uno in decem:
Construxit inde quinquies denûm agmina:
Millena deinde: signa quin et bellica
Disposuit ignes, ante notos nemini.
Deprendit astris quis modus, quae sint viae,
Custodiae soporis, aurorae indices,
Regimenque ratibus in salo natantibus
Plaustri rotatum, et frigus occidui Canis.

VI. Eustathius in Iliad. B. p. 172. Παλαμήδους ἐπινοησαμένου κυβείαν καὶ πεττείαν ἐν Ἰλίῳ εἰς παραμύθιον λιμοῦ κατασχόντος τὴν στρατιὰν, λίθος ἐκεῖ ἐδείκνυτο, ἐφ' οὗ ἐπέσσευον· τῆς δὲ τοιαύτης ἐπινοίας τοῦ Παλαμήδους, καὶ τῆς εὑρέσεως δὲ τοῦ χρόνου, ἣν καὶ αὐτὴν ἐκεῖνος ἐσοφίσατο, μάρτυρα παράγουσι Σοφοκλῆν, ὃς ἐν δράματι ὁμωνύμῳ τῷ εὑρετῇ Παλαμήδει φησίν·

Οὐ λιμὸν οὗτος τόνδ' ἀπῶσε, ξὺν θεῷ
Εἰπεῖν, χρόνου τε διατριβὰς σοφωτάτας
Ἐφεῦρε, φλοίσβου μετὰ κόπον καθημένοις,
Πεσσοὺς, κύβους τε, τερπνὸν ἀργίας ἄκος;

Nihil tam apertum est, quam hos versus ad eamdem Nauplii ῥῆσιν

pertinere, cujus partem ab Achille Tatio ſervatam ſupra protulimus. Proinde ſunt itidem ex Nauplio: aut ſi Euſtathii fidem ſequimur, licet dramatum quibus nunc caremus nullum ipſe viderit, ad Palamedem priores alteri etiam referendi ſunt. Nihil ſupereſt, unde colligere poſſimus, quænam fuerit harum fabularum œconomia: id tantum apparet, in ea cui materiam dedit Palamedes a Pelaſgis infanda ſub proditione neci demiſſus, Nauplii, cujus ex perſona ῥῆσις iſta recitata fuit, nullas partes eſſe potuiſſe. Non enim is in caſtris Græcorum erat, quando Palamedes Ulyſſis fraude oppreſſus fuit. Ad eamdem ῥῆσιν pertinet etiam verſus ille a Polluce, Heſychio, Euſtathio aliiſque citatus:

Καὶ πεσσὰ πεντέγραμμα καὶ κύβων βολάς.

VII. Vide Lexicon in Ἀνόρεος. Ἐλύμνιον. Ἐπίκοπα. Κατελάδα. Ναύκληρον. Ὀλκία. Πεσσά. Τρίτος κρατήρ.

ΝΑΥΣΙΚΑΑ ἢ ΠΛΥΝΤΡΙΑΙ.

I. Euſtathius in Odyſſ. Z. p. 250. Μάλιςα δὲ, φασὶν, ἐπεμελήθησαν ὕςερον σφαιριςικῆς, πόλεων μὲν, κοινῇ Λακεδαιμόνιοι· βασιλέων δὲ, ὁ μέγας Ἀλέξανδρος· ἰδιωτῶν δὲ, Σοφοκλῆς ὁ τραγικός· ὃς καὶ, ὅτε, φασὶ, τὰς Πλυντρίας ἐδίδαξε, τὸ τῆς Ναυσικάας πρόσωπον σφαίρᾳ παιζούσης ὑποκρινόμενος, ἰσχυρῶς εὐδοκίμησεν. Hauſit iſta, ni fallor, ex Athenæi lib. i. cujus nos in epitome, p. 20. legimus de Sophocle ſcripta: ἄκρως ἐσφαίρισεν, ὅτε τὴν Ναυσικάαν καθῆκε. Sic enim legendum cum Caſaubono; qui, neque Euſtathii recordatus, quum perdoctum conderet dramatum Sophoclis catalogum, velut duo diverſa Ναυσικάαν recenſuit et Πλυντρίας. Unum fuit duntaxat, inſcriptum ΝΑΥΣΙΚΑΑ ἢ ΠΛΥΝΤΡΙΑΙ. *Valckenarius ad Eurip. Hippol. p.* 181. Quam ſuperiori loco Euſtathius citat fabulam τὰς Πλυντρίας, eamdem in Comment. ad Iliad. Γ. p. 288. innuit his verbis: Ὅτι δὲ τὸ σπουδαίως κιθαρίζειν ἐφιλεῖτο τοῖς παλαιοῖς, δηλοῦσι μυρίοι καὶ τὸ μεθ' Ὅμηρον· μαρτυρεῖ δὲ καὶ ἡ κωμικὴ ποίησις, ἔτι δὲ καὶ ἡ τραγικὴ, ἐν ᾗ προλάμπων Σοφοκλῆς περιᾴδεται οὐ μόνον δεινὸς εἶναι σφαιρίσαι, ὡς ἡ κατ' αὐτὸν ἐδήλωσε δραματικὴ Ναυσικάα, καθὰ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δηλοῦται· ἀλλὰ καὶ κιθαρίζειν ἄκρος, οὕτω δὲ καὶ ὀρχεῖσθαι καὶ χορεύειν.

II. Vide Lexicon in Ἀναροιβδεῖ. Ἐπενδύτης. Λαμπήνη.

ΝΙΟΒΗ.

I. Athenæus, p. 601. Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς τῶν παίδων ἔρωτας· ὁ μὲν, τὸν Ἀ-

χιλλέως πρὸς Πάτροκλον, ὁ δ' ἐν τῇ Νιόβῃ, τὸν τῶν Νιόβης παίδων. Nioben Sophoclis intelligendam eſſe et ipſa formula oſtendit ὁ μὲν, ὁ δὲ, quorum prius ad Æſchylum, poſterius ad Sophoclem referendum: tum Plutarchi locus plane demonſtrat, Moral. p. 700. Τῶν τε Σοφοκλέους Νιοβιδῶν βαλλομένων καὶ θνησκόντων, ἀνακαλεῖταί τις οὐδένα βοηθὸν ἄλλον οὐδὲ σύμμαχον, ἢ τὸν ἐραστήν. Vide Valckenarii Diatr. Eurip. p. 13. unde hæc petita.

II. Scholiaſtes Æſchyli ad Prometheum, 435. cujus locum emendatum damus infra in Phrygibus.

III. Euſtathius in Iliad. Ω. p. 1506. Τῆς Νιόβης ἡ συμφορὰ κατὰ μέν τινας, ἐν Λυδίᾳ· κατὰ δέ τινας ἐν Θήβαις γενέσθαι λέγεται. Σοφοκλῆς δὲ τοὺς μὲν παῖδας αὐτῇ ἐν Θήβαις ἀπολέσθαι φησίν· αὐτὴν δὲ εἰς Λυδίαν ἐλθεῖν. Ad hanc fabulam reſpexit Lutatius ad Statii Theb. lib. vi. *Niobe, ſecundum Homerum, duodecim filios habuit. Sophocles autem dicit eam quatuordecim habuiſſe.*

IV. Diogenes Laërt. in vita Zenonis, vii. 28. Ἐτελεύτα δὲ οὕτως· ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε, καὶ τὸν δάκτυλον περιέῤῥηξε· παίσας δὲ τὴν γῆν τῇ χειρὶ, φησὶ τὸ ἐκ τῆς Νιόβης· Ἔρχομαι, τί μ' ἀΰτεις; Vide Valckenarium ad Eurip. Phœniſſas, p. 320.

V. Niobes mentio in his Comici verſibus in Veſpis, 577.

> Κἂν Οἴαγρος εἰσέλθῃ φεύγων, οὐκ ἀποφεύγει, πρὶν ἂν ἡμῖν
> Ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν, τὴν καλλίστην ἀπολέξας.

Verum incertum an Œagrus tragœdus Æſchyli, Sophoclisne Nioben egerit.

VI. Plutarchus, Sympoſiacon vi. 6. αὐτοὺς παραλογιζόμεθα, θερμὸν εὐθὺς εἶναι τὸ θερμαῖνον ὑπολαμβάνοντες· καὶ ταῦθ', ὁρῶντες ὅτι ταὐτὸ ἱμάτιον ἐν χειμῶνι θερμαίνει, ἐν δὲ ἡλίῳ ψύχειν λέγομεν· ὥσπερ ἡ τραγικὴ τροφὸς ἐκείνη τὰ τῆς Νιόβης τέκνα τιθηνεῖται,

> Λεπτοσπαθήτων χλανιδίων ἐρειπίοις
> Θάλπουσα καὶ ψύχουσα, καὶ πόνῳ πόνον
> Ἐκ νυκτὸς ἀλλάσσουσα τὸν καθ' ἡμέραν.

Hos verſus e Sophoclis Niobe petitos emendavit Valckenarius in adnotationibus Phalaridis Epiſtolis præmiſſis, p. 10. Quæ de hoc fragmento diſputat vir ſummus ne doctiores quidem legiſſe pœnitebit.

VII. Vide Scholiaſtam noſtrum ad Œd. Col. 716. et Lexicon in Δερμιστής. Ἐλύμους. Ἦ ἀντὶ τοῦ ἦν.

ΝΙΠΤΡΑ ἢ ΟΔΥΣΣΕΥΣ ΑΚΑΝΘΟΠΛΗΞ.

Argumentum fuit mors Ulyſſis paſtinacæ radio icti a Telegono filio. Rem his verbis narrat Euſtathius in Odyſſ. Λ. p. 423. Τηλέγονος ὁ Κίρκης καὶ Ὀδυσσέως ἡφαιστότευκτον δόρυ ἔχων, οὗ ἀδαμαντίνη μὲν ἡ ἐπιδορατὶς, αἰχμὴ δὲ, κέντρον θαλαττίας τρυγόνος, χρυσοῦς δὲ ὁ στύραξ, καὶ ἐλθὼν ἐκ Τυῤῥηνίας εἰς ἀναψηλάφησιν τοῦ πατρὸς, καὶ ληϊζόμενος ἀγνοίᾳ τὰ ἠπειρωτικὰ τοῦ Ὀδυσσέως κτήματα, καὶ εὑρὼν ἀντίπαλον τὸν πατέρα, ἀνεῖλεν οὐκ εἰδώς· καὶ οὕτω τῷ κατὰ θάλασσαν ἀεὶ κακῶς πράττοντι, ἐκ θαλάττης αὖθις ὁ θάνατος, ὃς ἔπεφνεν αὐτὸν, καθὰ καὶ Ὀππιανὸς ἱστορεῖ, τῷ τῆς τρυγόνος κέντρῳ. Paſtinacam deſcribit Oppianus Ἁλιευτικῶν ii. 462. unde, quæ de piſcis hujus radio, quem βέλος appellat, huc pertinentia habet, deſcribam :

Κεῖνό ποτ᾽ αἰγανέῃ δολιχήρεϊ κωπηέσσῃ
Κίρκη Τηλεγόνῳ πολυφάρμακος ὤπασε μήτηρ,
Αἰχμάζειν δηΐοις ἅλιον μόρον· αὐτὰρ ὁ νήσῳ
Αἰγιβότῳ προσέκελσε, καὶ οὐ μάθε πώεα πέρθων
Πατρὸς ἑοῦ· γεραρῷ δὲ βοηδρομέοντι τοκῆϊ
Αὐτῷ, τὸν μάστευε, κακὴν ἐνεμάξατο κῆρα.
Ἔνθα τὸν αἰολόμητιν Ὀδυσσέα, μυρία πόντου
Ἄλγεα μετρήσαντα πολυκμήτοισιν ἀέθλοις,
Τρυγὼν ἀλγινόεσσα μιῇ κατενήρατο ῥιπῇ.

Hanc fabulam Pacuvius latinam fecit, ſed libere, Romanorum tragicorum more, qui, ſervata Græcorum dramatum œconomia, multa mutabant in moribus et ſententiis. Vide Ciceronis Tuſcul. ii. 20. Dubitare non debebat Caſaubonus, quin Sophocles Νίπτρα ediderit. Verum non eſt Pacuvium novo titulo NIPTRA inſcripſiſſe fabulam, cui Sophocles indicem fecerat Ὀδυσσεὺς ἀκανθοπλήξ. Sophoclei dramatis index fuit Νίπτρα ἢ Ὀδυσσεὺς ἀκανθοπλὴξ, ut aliæ multæ fuerunt fabulæ duplici titulo inſignitæ. Νίπτρα citat Suidas in Παῤῥησία, quod Caſaubonum fugerat. Apollodorus Tarſenſis eodem titulo Ὀδυσσεὺς ἀκανθοπλὴξ tragœdiam ſcripſerat, teſte Suida, cujus verba luxata. Vide Hemſterhuſii notam ad Thomam M. in Ἀκανθοπλήξ.

I. Stephanus in Δωδώνη—λέγεται καὶ Δωδὼν, ἧς τὴν γενικὴν Σοφ. Ὀδυσσεῖ Ἀκανθοπλῆγι·

Νῦν δ᾽ οὔτε μ᾽ εἰς Δωδῶνος, οὔτε Πυθικὰς
Γύας τις ἂν πείσειεν.

καὶ δοτικήν·

Δωδῶνι ναίων Ζεὺς ὁμέστιος βροτῶν.

τῆς μέν τοι Δωδώνης, Δωδωναῖος· καὶ τὸ θῆλυ, Δωδωνίς. Σοφ. Ὀδυσσεῖ Ἀκανθοπλῆγι·

Τὰς θεσπιωδοὺς ἱερίας Δωδωνίδας.

Stephani interpretes dramatis titulum imperite verterunt, ULYSSES SPINIS FLAGELLATUS, ULYSSES FLAGRIS CÆSUS. Verti debuit ULYSSES PASTINACÆ RADIO VULNERATUS. Plinius, l. ix. ſect. 72. *Radius ſuper caudam eminens trygonis, quam noſtri* paſtinacam *appellant, quincunciali magnitudine. Arbores infixus radici necat: arma, ut telum, perforat: vi ferri, et veneni malo.*

II. Scholiaſtes MS. Homeri ad Iliad. A. 135. Καὶ Σοφ. ἐν Ὀδυσσεῖ Ἀκανθοπλῆγι·

Εἰ μέν τις ἓν ἕξεισιν· εἰ δὲ μή, λέγε.

Ad eumdem Homeri locum, ubi variis exemplis ellipſin illuſtrat, Euſtathius hunc e Sophocle ſenarium profert, ſed omiſſo dramatis titulo.

III. Ad hanc fabulam reſpicit Philoſophus in libello de Poetica cap. xiv. Ὁ Τηλέγονος ὁ ἐν τῷ τραυματίᾳ Ὀδυσσεῖ.

IV. Vide Sophoclis vitam, et Lexicon in Ἀθηρόβρωτον. Ἐλαιάεσσα. Παρουσία.

ΞΟΑΝΗΦΟΡΟΙ.

Scholiaſtes Æſchyli ad Sept. Theb. 310. Εἴρηται δὴ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους, ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται. Vide Stanleii notam ad ejuſdem Æſchylei dramatis v. 223.

ΟΔΥΣΣΕΥΣ ΜΑΙΝΟΜΕΝΟΣ.

Argumentum, Ulyſſes furorem ſimulans, ne ad Trojam navigare cogeretur, et a Palamede fraudis convictus. Προσποιούμενον γὰρ αὐτὸν μαίνεσθαι, Παλαμήδης ἤλεγξεν, inquit Scholiaſtes noſter ad Philoct. 1053. Hac de re exſtant apud Ciceronem de Officiis, iii. 26. Pacuvii verſus ex Armorum judicio:

Cuju' ipſe princeps jurisjurandi fuit,
Quod omnes ſcitis, ſolus neglexit fidem:
Furere aſſimulavit; ne coiret, inſtitit.
Quod ni Palamedis perſpicax prudentia
Iſtius percepſet malitioſam audaciam,
Fide ſacratæ jus perpetuo falleret.

Inde Ovidius, Metam. xiii. 36.

Detrectavitque furore
Militiam ficto: donec solertior isto,
Sed sibi inutilior, timidi commenta retexit
Naupliades animi, vitataque traxit in arma.

I. Pindarus, Isthm. vi. 86.

Τὸν Ἀργείων τρόπον
Εἰρήσεταί πȣ κὲν βραχίστοις.

Ad quæ Scholiastes; Μακρολόγοι μὲν ἦν οἱ Ἴωνες· σύντομοι δὲ ȣ̓ μόνον Λάκωνες, ἀλλὰ καὶ Ἀργεῖοι. Σοφ. Ὀδυσσεῖ Μαινομένῳ·

Πάντ' οἶσθα, πάντ' ἔλεξα τἀντεταλμένα.
Μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν βραχύς.

II. Vide Lexicon in Ἐμπέραμος. Ἠμαλάψαι. Θρεκτοῖσι. Θριάζειν. Μάγνον.

ΟΙΝΟΜΑΟΣ ἢ ΙΠΠΟΔΑΜΕΙΑ.

Una eademque fuit fabula, quæ modo Hippodamiæ, modo Œnomai titulo citatur.

I. Stobæus, Floril. tit. xxvii. p. 121.

Ὅρκȣ δὲ προστεθέντος, ἐπιμελεστέρα
Ψυχὴ κατέστη· δισσὰ γὰρ φυλάσσεται,
Φίλων τε μέμψιν, κεὶς θεȣ̀ς ἁμαρτάνειν.

II. Athenæus, p. 410. Σοφοκλῆς Οἰνομάῳ·

Σκυθιστὶ χειρόμακτρον ἐκκεκαρμένος.

Huic senario accommodata est Hesychii glossa a Lennepio ad Phalaridis epist. p. 73. emendata: Οἱ Σκύθαι τῶν λαμβανομένων ἐν πολέμοις ἀνθρώπων τὰς κεφαλὰς ἐκδέροντες, τοῖς δέρμασιν ἀντὶ χειρομάκτρων ἐχρῶντο. Eodem sensu glossam emendavit Toupius ad Suidam iii. p. 40. sed aliquanto minus veteris scripturæ vestigiis insistens.

III. Idem, p. 564. Σοφοκλῆς δέ πȣ περὶ τοῦ κάλλȣς τοῦ Πέλοπος διαλεγομένην ποιήσας τὴν Ἱπποδάμειαν, φησίν·

Τοίαν Πέλοψ, ἴυγγα θηρατηρίαν
Ἔρωτος, ἀστραπήν τιν' ὀμμάτων ἔχει·
Ἐνθάλπεται μὲν αὐτὸς, ἐξοπτᾷ δ' ἐμὲ,
Ἴσον μετρῶν ὀφθαλμὸν, ὥστε τέκτονος
Παρὰ σταθμὴν ἰόντος ὀρθȣ̃ται κανών.

Sunt admodum depravati hi versus apud Athenæum: eos exhibeo, uti emendati leguntur in notis ad Euripidis Hippolytum 468. nisi quod in ult. v. ubi in Athenæo legitur παρὰ σταθμὴν ἰόντος, veram

lectionem restitui, quam conjectura leni, facili et certissima adsecutum est ingeniosi Tyrwhitti acumen. Valckenarius legebat παρὰ σταθμὴν ἰσῦντος, constante itidem metro, nec malo sensu. Studio, ut videtur, doctissimos viros carpendi Toupius ad Theocriti Scholiastem p. 211. tum alia, tum istud ἰόντος tuetur, quod ego prorsus mendosum esse statuo. Eleganti metaphora Theognis dixit: εἶμι παρὰ σταθμὴν ὀρθὴν ὁδόν. Sed qui extra metaphoram loquitur de fabro materiam æquante, non dicit eum *ad perpendiculum ire*, dum amussim dirigit; bene vero, eum *oculo perpendiculum servantem*, amussim dirigere. Toupii reliqua prætermitto, quæ ei nollem excidisse. Hos versus a se parum feliciter emendatos ita vertit Grotius:

Quas illecebras ille, vim venaticam
Amoris acre fulgur oculorum gerit?
Etiam ille quoties saltat, æquali modo
Me contuetur, sicut artificem faber
Quum jacit amussim, lineam rectam facit.

IV. Aristophanes, Avibus, 1337.

Γενοίμαν αἰετὸς ὑψιπέτας,
Ὡς ἂν ποταθείην ἀτρυγέτου
Γλαυκᾶς ὑπὲρ οἶδμα λίμνας.

Hos versiculos Comicum e Sophoclis Œnomao traduxisse Scholiastes monet. Simile votum observes in Œd. Col. 1136. et in Euripidis Hippolyto, 739.

V. Diogenes Laert. in vita Arcesilai, iv. 35. Πρὸς δὲ τὸν δανειστικὸν καὶ φιλόλογον, εἰπόντα τι ἀγνοεῖν, ἔφη·

Λήθουσι γάρ τοι κἀνέμων διέξοδοι
Θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ.

ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου Σοφοκλέους.
Confer Suidam in Διέξοδοι et in Λήθουσι, ubi demum versus isti emendate scripti leguntur: quod Grotium fugisse miror, cujus versio, in Excerptis videnda, a Græcorum sensu quam longissime remota est. Arcesilaus vocem τόκος alio sensu accipiens, jocum ex ambiguitate petebat, innuens fœneratorem nihil aliud nosse nec cogitare, quam tempus exigendæ usuræ.

VI. Hesychius: Ἀρουραῖος Οἰνόμαος. Δημοσθένης Αἰσχίνην οὕτως ἔφη, ἐπεὶ κατὰ τὴν χώραν περινοστῶν ὑπεκρίνετο Σοφοκλέους τὸν Οἰνόμαον.

ΠΑΛΑΜΗΔΗΣ.

Vide Lexicon in Ἄκεστρον. Δεοπά.

ΠΑΝΔΩΡΑ ἢ ΣΦΥΡΟΚΟΠΟΙ.

I. Athenæus, p. 476. ubi de voce κέρας *poculum* ſignificante: Καὶ Σοφοκλῆς Πανδώρᾳ·

Καὶ πλῆρες ἐκπιὼν τι χρύσεον κέρας
Τρίψει γέμοντα μαλθακῆς ὑπ' ὠλένης.

II. Vide Lexicon in Ἐνθρήθρα. Κεχήλωμαι. Ὀργασμός.

ΠΕΛΙΑΣ.

Erotianus in Gloſſario Hippocrateo: Παιδικὸν πάθος· παιδίαν νῦν, τὴν παιδοτροφίαν· ὅθεν καὶ Σοφοκλῆς ἐν Πελίᾳ φησί·

Λευκὸν γὰρ αὐτὴν οὐκ ἐπαίδευσεν γάλα.

ΠΕΡΙΛΑΟΣ.

Vide Lexicon in Καρπομάνης.

ΠΗΛΕΥΣ.

I. Clemens Alex. Strom. vi. p. 748.

Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη
Γεροντανωγῶ, κἀναπαιδεύω πάλιν.
Πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

Profert hos verſus etiam, ſed minus emendate, Scholiaſtes Comici ad Nubes, 1419. Medii parodia eſt in Equitibus, 1096. ubi Demus iſiciario ait:

Καὶ μὴν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ
Γεροντανωγεῖν, κἀναπαιδεύειν πάλιν.

Vide Toupium, Cur. nov. in Suidam, p. 33.

II. Ὁμορρόθῶ, συνθέλω,
Συμπαραινέσας ἔχω,
Προσόδια μεγάλα
Σεμνὰ προσιέναι θεοῖσιν.
Ἴτω δὲ Πυθιὰς βοὰ τῷ θεῷ.

Hos verſus in Aves tranſtulit Comicus, 851. e Sophoclis Peleo, teſte Scholiaſta, illiſque ſua ſalſe immiſcuit.

III. Vide Lexicon in Κυκνῖτις. Λιποψυχεῖν. Μὴ νόμισον. Ξηραλοιφεῖν.

ΠΟΙΜΕΝΕΣ.

I. Tzetzes ad Lycophronem, 529. Ἱστορεῖ ὁ Σοφοκλῆς ἐν Ποιμέσιν, ὑπὸ τοῦ Ἕκτορος ἀναιρεθῆναι τὸν Πρωτεσίλαον. Inde excogitari poteſt fabulæ argumentum, cui titulum fecit Chorus e paſtoribus conſtans.

II. Sextus Empiricus adverſus Grammaticos, p. 286. Οὔτε γὰρ ἐκ τέχνης τινὸς μεμαθήκασιν, ὅτι οἱ παρὰ τῷ Σοφοκλεῖ ποιμένες, ἰὼ βαλλὴν λέγοντες, ἰὼ βασιλεῦ λέγουσι Φρυγιστί· ἀλλὰ παρ' ἄλλων ἀκούσαντες. Heſych. Βαλλὴν, βασιλεὺς Φρυγιστί.

III. Harpocration in Νάννιον. Ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες, καὶ Σοφοκλῆς Ποιμέσιν·

Ἑωθινὸς γὰρ πρίν τιν' αὐλητῶν ὁρᾶν,
Θαλλὸν χιμαίραις προσφέρων νεοσπάδα,
Εἶδον στρατὸν στείχοντα παραλίαν πέτραν.

Leguntur hi verſus etiam apud Athenæum, p. 587. Ad primum pertinet Heſychii gloſſa: Αὐλητὴν, τὸν τοῦ κόπρου ἐπιμελούμενον τῶν προβάτων. In 3. lego una voce παραλίαν. Sic in Theſeo παρακτίαν στείχων.

IV. Athenæus, p. 319. Τῶν πηλαμίδων μνημονεύει καὶ Σοφοκλῆς ἐν Ποιμέσιν·

Εἶθ' ἡ πάροικος πηλαμὶς χειμάζεται,
Πάροικος Ἑλλησποντὶς, ὡραία θέρους
Τῷ Βοσπορίτῃ, τῷδε γὰρ θαμίζεται.

Huc referri poteſt Heſychii gloſſa: Θαμίζεται, ὁμιλεῖ.

V. Plutarchus, Vit. parall. p. 795. Οἱ Σοφοκλέους βοτῆρες ἐπὶ τῶν ποιμνίων λέγουσιν·

Τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν,
Καὶ τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν.

Ad nullam aliam Sophoclis fabulam melius quam ad Paſtores hi verſus referri poſſunt.

VI. Vide Lexicon in Ἀμφήμερον. Ἀναλῶσαι. Βάρις. Βερεκύντα. Θρηνεῖν. Ἴαννα. Κυκνῖτις. Ξανῶ. Φοινικίοις. Ψό.

ΠΟΛΥΙΔΟΣ ἢ ΜΑΝΤΕΙΣ.

I. Etymologicon Regium MS. citatum in Valckenarii Diatr. Eurip. p. 200. Πολύϊδος. Οὕτω καὶ Ἀπολλώνιος ὁ τοῦ Ἀρχιβίου· καὶ ἔστι, φησὶν, πολυΐδμων μάντις ὤν· ἔτι καὶ τὸ δρᾶμα ἐπιγράφεται παρὰ Ἀριστοφάνει· μαρτυρεῖ δὲ Φιλόξενος· καὶ Σοφοκλῆς δὲ Μάντεσι συνέστειλε·

Ὁρῶ πρὸ χειρῶν Πολυΐδου τοῦ μάντεως.

καὶ πάλιν·

Οὐκ ἔστιν εἰ μὴ Πολυΐδῳ τῷ κοιράνῳ.

Eadem nominis ſcriptura apud Clementem Alex. Strom. i. p. 399. ubi inter inſignes vates recenſetur Πολύϊδός τε ἐν Ἄργει, καὶ ἐν Μεγάροις, οὗ μέμνηται ἡ τραγῳδία.

II. Euripidis Schol. ad Phœniſſas, 1290. Τῆς κύστεως τὸ στόμα ἐρίῳ δεσμοῦντες ἐπετίθεσαν τῷ πυρὶ, καὶ παρετήρουν πῶς ῥαγήσεται, καὶ ποῦ τὸ οὖρον ἀκοντίσει. Σοφοκλῆς ἐν Μάντεσι·

Τὰς μαλλοδετεῖς κύστεις.

III. Stobæus, Floril. tit. xxix. p. 127.

Οὔ τοι γ' ἐφίξει τῶν ἄκρων ἄνευ πόνου.

Vide Valckenarium ad Phœniſſas, p. 217.

IV. Porphyrius de Abſtinentia, lib. ii. p. 134. edit. Ultrajectinæ. Clemens Alex. Stromat. iv. p. 565.

Ἦν μὲν γὰρ οἰὸς μαλλὸς, ἦν δὲ κἀμπέλου
Σπονδή τε, καὶ ῥὰξ ἐντεθησαυρισμένη·
Ἐνῆν δὲ συμμιγὴς ὅλαις παγκαρπία,
Λίπος τ' ἐλαίας, καὶ τὸ ποικιλώτατον
Ξουθῆς μελίσσης κηρόπλαστον ὄργανον.

Ultimum verſum citat Schol. Euripidis ad Phœniſſas, 116. ubi docet ὄργανον poni pro ἔργον, ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. Confer Xylandri et Caſauboni notas ad Strabonem, p. 16.

V. Schol. Comici ad Ranas, 596. Σοφοκλῆς ἐν Μάντεσιν ἐπί τινων ὀρνέων·

Τοὺς γλαμυροὺς κατὰ φορβάν.

VI. Vide Lexicon in Ἀνταίας. Ἀραῖον.

ΠΟΛΥΞΕΝΗ.

I. Strabo, lib. x. p. 470. Ὁ δ' οὖν Σοφοκλῆς ποιήσας τὸν Μενέλαον ἐκ τῆς Τροίας ἀπαίρειν σπεύδοντα ἐν τῇ Πολυξένῃ, τὸν δ' Ἀγαμέμνονα μικρὸν ὑπολειφθῆναι βουλόμενον, τοῦ ἐξιλάσασθαι τὴν Ἀθηνᾶν χάριν, εἰσάγει λέγοντα τὸν Μενέλαον·

Σὺ δ' αὖθι μίμνων τήνδε κατ' Ἰδαίαν χθόνα
Ποίμνας Ὀλύμπου συναγαγὼν θυηπόλει.

II. Stobæus, Ecl. Phyſ. p. 129. In Excerptis Grotii, p. 165. Ἀχέρων δὲ καὶ Ἀχερουσία λίμνη ταυτὸν, ὡς καὶ Σοφοκλῆς ἐν Πολυξένῃ τοῦ Ἀχιλλέως ψυχὴν εἰσάγει λέγουσαν·

Ὦ τὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς

Λιποῦσα λίμνας ἦλθον ἠχούσας γόοις,
Ἀχέροντος ὀξυπλῆγος ἄρσενας χοάς.

In primo verſu lego ᾧ, *cui*, vel *propter quod*, relatum ad id quod præcedebat. Vulgo legitur ſine ullo ſenſu ὦ. Repoſui μελαμβαθεῖς pro vulgato μελαμβαφεῖς, quarum vocum confuſionem breviter adtigi ad Æſchyli Prometheum, 219. Valckenario placuit μελαμφαεῖς, cujus omnino adeunda nota ad Phœniſſas, p. 367.

III. Idem, Florilegii tit. xlix. p. 187.

Οὐ γάρ τις ἂν δύναιτο πρωρατὴς στρατοῦ
Τοῖς πᾶσι δεῖξαι καὶ προσαρκέσαι χάριν·
Ἐπεὶ οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι
Οὔτ' ἐξεπομβρῶν, οὔτ' ἐπαυχμήσας, φίλος
Βροτοῖς ἂν ἔλθοι γ', εἰ δίκην λόγων ὄφλοι.
Πῶς δῆτ' ἐγὼ θνητός τ' ἄν, ἐκ θνητῆς τε φύς,
Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος;

Nemo imperator ſe poteſt exercitus
Jactare cunctis largitate gratiæ:
Nec ipſe qui me latius regnat Deus,
Seu ſiccat agros, imbre ſeu fuſo rigat,
In jus vocatus omnibus cauſſam probet.
Mortalis ergo, matre mortali ſatus,
Quînam Jovem ipſum vincerem prudentia?

Tragici ſenſum dilucide et eleganter expreſſit Grotius, ſed quem e Græcis ægre elicias. In codice ſic ſcriptus eſt quintus verſus: βροτοῖς ἀνελθὼν ἐς δίκην λόγους ὄφλαι. Judicio damnati Atticis dicuntur ὄφλειν δίκην, quod hic vix locum habere poteſt. Aptum ſententiæ verbum eſſet δίκην ſeu λόγον ὑπέχειν. Ceterum æmulatus eſt Sophocles Theognidem cujus hæc eſt ſententia:

Ἀστοῖσιν δ' οὔπω πᾶσιν ἁδεῖν δύναμαι.
Οὐδὲν θαυμαστὸν, Πολυπαΐδη· οὐδὲ γὰρ ὁ Ζεὺς
Οὔθ' ὕων πάντας ἀνδάνει, οὔτ' ἀνέχων.

IV. Schol. Apollonii Rhodii ad ii. 1123.

Ἀπ' αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους.

V. Ad Polyxenam reſpexiſſe videtur Longinus, ſect. 15. Ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάντασται, καὶ, κατὰ τὸν ἀπόπλουν τῶν Ἑλλήνων, ἐπὶ τοῦ Ἀχιλλέως προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου. Scilicet in hoc dramate inducebatur Achillis umbra, quodque apud Euripidem narratur initio Hecubæ, id Sophocles ſpectatorum ſubjecerat oculis.

VI. Vide Lexicon in Ἄπειρος. Ἠκρωτηριασμένοι. Παράρυμα.

ΠΡΙΑΜΟΣ.

Pollux, x. ſect. 147. Οἰκοδόμου δὲ σκεύη, λεῖαι, γλαρίδες, ὡς Σοφοκλῆς ἐν Πριάμῳ. Idem, vii. ſect. 118. Καὶ λατύπους δὲ, Σοφοκλῆς, ὅπου καὶ ἐργαλεῖα τῶν λατύπων ὀνομάζει λείας καὶ γλαρίδας.

ΠΡΟΚΡΙΣ.

Vide Lexicon in Ἐπιτιμητής.

ΠΡΟΜΗΘΕΥΣ.

Schol. Pindari ad Pyth. v. 35. Σοφοκλῆς δὲ ἐν τῷ Προμηθεῖ, ΤΟΥ ΠΡΟΜΗΘΕΩΣ, θέλων λέγειν τῆς φρονήσεως ἀντέχεσθαι, καὶ μὴ τῆς μεταμελείας.

ΡΙΖΟΤΟΜΟΙ.

I. Macrobius, Saturnal. lib. v. 19. Hæc res nonne quæſtione digna eſt, unde Virgilio æneæ falces in mentem venerint? Ponam itaque Virgilianos verſus, mox et inde Sophoclis, quos Maro æmulatus eſt.

Falcibus et meſſæ ad lunam quæruntur aënis
Pubentes herbæ nigri cum lacte veneni.

Sophoclis autem tragœdia id, de quo quærimus, etiam titulo præfert. Inſcribitur enim Ῥιζοτόμοι, in qua Medeam deſcribit maleficas herbas ſecantem, ſed averſam, ne vi noxii odoris ipſa interficeretur; et ſuccum quidem herbarum in cados æneos refundentem, ipſas autem herbas æneis falcibus exſecantem. Sophoclis verſus hi ſunt:

Ἡ δ' ἐξοπίσω χερὸς ὄμμα τρέπουσ'
Ὀπὸν ἀργινεφῆ στάζοντα τομῆς
Χαλκέοισι κάδοις δέχεται.

Et paullo poſt:

αἳ δὲ καλυπταὶ
Κίσται ῥιζῶν κρύπτουσι τομὰς,
Ἃς ἥδε βοῶσ', ἀλαλαζομένη,
Γυμνὴ χαλκέοις ἤμα δρεπάνοις.

II. Schol. Apollonii Rhodii ad iii. 1213. Ὅτι δὲ ἡ Ἑκάτη δρυΐνῳ κλάδῳ στέφεται καὶ δράκουσι, καὶ Σοφοκλῆς ἐν Ῥιζοτόμοις παρεισάγει τὸν Χορὸν λέγοντα.

Ἥλιε δέσποτα

Καὶ πῦρ ἱερὸν, τῆς εἰνοδίας
Ἑκάτης ἔγχος, τῷ δι' Ὀλύμπȣ
Πολλὴ φέρεται καὶ γῆς, καίȣσ'
Ἱερὰς τριόδȣς, ςεφανωσαμένη
Δρυσὶ καὶ πλεκτοῖς
Ὠμῶν σπείρησι δρακόντων.

Nescio quo errore Grotius fragmentum hoc ad Polyxenam retulerit. In scholiis MS. legitur: τὸ δι' Ὀλύμπȣ πολλȣ̃ φέρει καὶ γῆς, καίνȣσ'—Vide Valckenarii Diatr. Eurip. p. 167.

II. Vide Lexicon in Ἀϊςώσας.

ΣΑΛΜΩΝΕΥΣ Σατυρικός.

De hac fabula videndus Bentleius Epistolæ ad Millium, p. 59.

I. Athenæus, p. 487. Καλεῖται δὲ Μάνης, καὶ τὸ ἐπὶ κοτλάβȣ ἐφεςηκὸς, ἐφ' οὗ τὰς λάταγας ἐν παιδιᾷ ἔπεμπον, ὅπερ ὁ Σοφοκλῆς ἐν Σαλμωνεῖ χάλκειον ἔφη κάρα, λέγων οὕτως·

Τάδ' ἐςὶ κνισμὸς καὶ φιλημάτων ψόφος,
Τῷ καλλικοτλαβȣ̃ντι νικητήρια
Τίθημι, καὶ βαλόντι χάλκειον κάρα.

Vide Meursii Græciam ludibundam in κοτλαβισμός.

II. Vide Lexicon in Θῆμα. Καρικοί. Πέμφιξ.

ΣΙΝΩΝ.

Vide Lexicon in Αἰθύσσειν. Ἀναιθύσσω. Ἀξέςȣς. Ἄῤῥηλον. Ἐνθρίακτος.

ΣΙΣΥΦΟΣ.

Vide Lexicon in Ζεῦγος.

ΣΚΥΘΑΙ.

I. Schol. MS. Apollonii Rhodii ad iv. 223. Φερεκύδης δὲ ἐν τῷ τετάρτῳ τὴν Μήδειάν φησιν ἆραι τὸν Ἄψυρτον ἐκ τῆς κοίτης μικρὸν ὄντα, Ἰάσονος εἰπόντος εἰς τȣ̀ς Ἀργοναύτας ἐνεγκεῖν αὐτόν· ὡς δὲ ἐδιώκοντο, σφάξαι τε αὐτὸν τȣ̀ς Ἀργοναύτας, καὶ μελίσαντας εἰς τὸν ποταμὸν ἐμβαλεῖν. Σοφοκλῆς ἐν μὲν Κολχίσιν ἐν τῷ Αἰήτȣ οἴκῳ σφαγῆναί φησι τὸν Ἄψυρτον· ἐν δὲ τοῖς Σκύθαις οὐχ ὁμομήτριόν φησι τὸν Ἄψυρτον τῇ Μηδείᾳ. Οὐ γὰρ ἀπὸ μιᾶς, φησὶ, κοίτης ἔβλαςον· ἀλλ' ὁ μὲν Νηρηΐδος τέκνον ἄρτι βλαςάνεσκε· τὴν δ' Εἰδυῖα πρίν ποτε Ὠκεανȣ̃ κόρη τίκτεν. Latentes in his trochaicos tetrametros numeris suis restituit Valckenarius, Diatr. Eurip. p. 224.

Οὐ γὰρ ἐκ μιᾶς ἔβλαςον· ἀλλ' ὁ μὲν Νηρηΐδος

Τέκνον ἄρτι βλαστάνεσκε· τὴν δ' Ἰδυῖα πρίν ποτε
Ὠκεανοῦ κόρη γ' ἔτικτεν.

II. Idem ad iv. 248. Ἑκαταῖος δὲ ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδ' ὡς διὰ Ταναΐδος ἔπλευσαν, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν καθ' ὃν καὶ πρότερον, ὡς Σοφοκλῆς ἐν Σκύθαις ἱστορεῖ.

III. Athenæus, p. 189. Καλοῦσι δ' ἀρσενικῶς τοὺς αὐλῶνας, ὥσπερ Θουκυδίδης ἐν τῇ τετάρτῃ, καὶ πάντες οἱ καταλογάδην συγγραφεῖς· οἱ δὲ ποιηταὶ θηλυκῶς. Σοφ. Σκύθαις·

Κρημνούς τε καὶ σήραγγας, ἠδ' ἐπακτίας
Αὐλῶνας.

Obſervavit Abreſchius ad Thucydidem, p. 471. hæc ad verbum fere in rem ſuam tranſtuliſſe Virgilium, Georg. iii. 276.

Saxa per et ſcopulos et depreſſas convallis.

IV. Vide Lexicon in Ἀχίλλειον. Ἀψάλακτος.

ΣΚΥΡΙΑΙ.

I. Notum argumentum fabulæ. Vide Hyginum, cap. xcvi. et Philoſtrati junioris iconem, cui titulus Achilles in Scyro, p. 863. ubi Sophoclei dramatis meminit: Σκῦρος, νῆσος, ἣν ὁ θεῖος Σοφοκλῆς ἀνεμώδεα καλεῖ. Conſtabat Chorus e Scyriis puellis, unde fabulæ titulus, qui ſæpe perperam ſcriptus occurrit Σκύριοι, pro Σκύριαι. Joanni Toupio non adſentior adfirmanti unam fuiſſe fabulam gemino titulo inſignitam *Scyrias et Achillis amatores*: cujus rei ſi quem auctorem habuit, omnino falſus eſt. Diverſas fabulas fuiſſe vel inde liquet, quod in Ἀχιλλέως ἐρασταῖς inducebatur Peleus, cujus in Σκυρίαις nullæ poterant eſſe partes. Illa ſatyrica erat; hæc tragica.

II. Plutarchus, Moral. p. 34. et 72.

Σὺ δ' ὦ, τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους,
Ξαίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς.

His verbis ſedentem inter puellas in Scyro Achillem increpabat Ulyſſes. In poſteriore Plutarchi loco pro ἀποσβεννὺς legitur e gloſſemate καταισχύνων. Sunt autem iſti verſus e Scyriis Sophoclis, quod e ſtylo et comparatis ſecum duobus Plutarchi locis ſatis eſt probabile.

III. Stobæus, Floril. tit. li. p. 199.

Φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους.

IV. Idem, tit. lix. p. 225.

Οἱ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν,

Οἷς οὔτε δαίμων, οὔτε τις θεῶν νέμων
Πλοῦτόν ποτ' ἂν νείμειεν ἀξίαν χάριν·
Λεπτῆς ἐπὶ ῥοπῆσιν ἐμπολὰς μακρὰς
Ἀεὶ παραῤῥίπτοντες οἱ πολύφθοροι,
Ἴσως ἂν ἢ κέρδαναν, ἢ διώλεσαν.

V. 1. οἷ. v. 3. νείμειεν. ult. ἴσως ἂν ἢ κέρδαιναν auctoritate codicis firmantur, in quo distincte scriptum ἐπὶ ῥοπῆσιν. Credideram olim legendum esse ἐπὶ ῥιπῆσιν. Nunc vero nihil muto: ῥοπὴ hic sperandi momenta significat. Vox est πολύσημος, quæ in utramque partem accipitur. In Trachin. 82. veteres critici per κίνδυνον exponunt. In 3. versu libri omnes habent πλούτου mendose.

V. Idem, tit. cxvii. p. 483.

Πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακὰ,
Νοῦς φροῦδος, ἔργ' ἀχρεῖα, φροντίδες κεναί.

Horum senariorum alterum laudat Clemens Alex. Cohort. ad Gentes, p. 73. ubi non ἔργ', sed ὦτ' ἀχρεῖα, *aures inutiles*, legitur.

VI. Idem, tit. cxxv. p. 509.

Ἀλλ' εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακὰ,
Καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι,
Ὁ χρυσὸς ἧσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν.
Νῦν δ', ὦ γεραιὲ, ταῦτ' ἀνηνύτως ἔχει,
Τὸν μὲν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν.
Κἀμοὶ γὰρ ἂν πατὴρ γε δακρύων χάριν
Ἀνῆκτ' ἂν εἰς φῶς.

V. 6. κἀμοὶ—πατὴρ γε codicis est scriptura. Grotius dedit καί μοι πατήρ τε.

VII. Vide Lexicon in Ἀποστιβής. Αὐτόστυλον. Ἀχρήμαστον. Εὔωρος.

ΤΕΥΚΡΟΣ.

I. Stephanus. Κυχρεῖος, πάγος περὶ Σαλαμῖνα. Σοφοκλῆς Τεύκρῳ.

II. Aristophanes, Nubibus 583. Βροντὴ δ' ἐῤῥάγη δι' ἀστραπῆς. Ad quæ Scholiastes, παρὰ τὰ ἐκ Τεύκρου Σοφοκλέους·

Οὐρανοῦ δ' ἄπο
Ἤστραψε, βροντὴ δ' ἐῤῥάγη δι' ἀστραπῆς.

III. Stobæus, Floril. tit. cxxiii. p. 503.

Ὡς ἄρ', ὦ τέκνον, κενὴν
Ἐτερπόμην σου τέρψιν εὐλογουμένου,
Ὡς ζῶντος· ἡ δ' ἄρ' ἐν σκότῳ λαθοῦσά με
Ἔσαιν' Ἐρινὺς ἡδοναῖς ἐψευσμένον.

ΤΗΡΕΥΣ.

I. Ad hoc drama adludit Comicus in Avibus, 100. ubi Epopis roſtrum ridenti Euelpidi Epops ait:

Τοιαῦτα μέντοι Σοφοκλέης λυμαίνεται
Ἐν ταῖς τραγῳδίαισιν ἐμὲ τὸν Τηρέα.

Ad quæ ſic Scholiaſtes: ἐν γὰρ τῷ Τηρεῖ Σοφοκλῆς ἐποίησεν αὐτὸν ἀπωρνιθωμένον, καὶ τὴν Πρόκνην· ἐν ᾧ ἔσκωψε πολλὰ τὸν Τηρέα. Idem argumentum poſt Sophoclem tractavit Philocles, quem in eadem fabula perſtringit Comicus, v. 282. ubi hæc habet Scholiaſtes: ὁ Σοφοκλῆς πρῶτος τὸν Τηρέα ἐποίησεν, εἶτα Φιλοκλῆς.

II. Stobæus, Floril. tit. x. p. 71.

Φιλάργυρον μὲν πᾶν τὸ βάρβαρον γένος.

III. Idem, tit. xiii. p. 83.

Θάρσει· λέγων τἀληθὲς, οὐ σφαλεῖ ποτε.

Lemma huic verſui præfixum in Reg. cod. Σοφοκλ. Τηρεῖ. In alio quo uſus eſt Ruhnkenius noſter, adſcriptum ἐκ Τειρεσίυ, quo nomine nullum Sophocles drama edidit. In Vindobon. Εὐριπ. Τηρεῖ. eodem errore quo deceptus fuit Apoſtolius, Proverb. x. 12.

IV. Idem, tit. xx. p. 107.

Ἄνυς ἐκεῖνος, αἱ δ' ἀνούστεραί γ' ἔτι
Ἐκεῖνον ἠμύναντο καρτερώτερον.
Ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν
Μεῖζον προσάπτει τῆς νόσυ τὸ φάρμακον,
Ἰατρός ἐστιν οὐκ ἐπιστήμων κακῶν.

In Reg. cod. lemma adſcriptum 1. verſui Σοφ. et 3. τοῦ αὐτῦ Τηρεῖ. Hoc ſtatim 1. verſui adpoſitum in Vindobon. continuatis una ſerie quinque verſibus.

V. Idem, tit. xxii. p. 115.

Θνητὴν δὲ φύσιν χρὴ θνητὰ φρονεῖν,
Τοῦτο κατειδότας ὡς ὐκ ἔστιν
Πλὴν Διὸς ὐδεὶς τῶν μελλόντων
Ταμίας, ὅ τι χρὴ τετελέσθαι.

Hos anapæſtos e Sophoclis Tereo eſſe, fidem faciunt duo Stobæi codices.

VI. Idem, tit. xxxix. p. 157.

Πολλά σε ζηλῶ βίυ,
Μάλιστα δ' εἰ γῆς μὴ πεπείρασαι ξένης.

Perperam in libris κάλλιστα.

VII. Idem, tit. lxviii. p. 283.

Νῦν δ' ἐδέν εἰμι· χωρὶς ἀλλὰ πολλάκις
Ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν,
Ὡς ἐδέν ἐσμεν· αἳ, νέαι μὲν ἐν πατρὸς
Ἥδιςον, οἶμαι, ζῶμεν ἀνθρώπων βίον.
Τερπνῶς γὰρ αἰεὶ πάντας ἡ ἄνοια τρέφει.
Ὅταν δ' ἐς ἥβην ἐξικώμεθ' εὔφρονες,
Ὠθούμεθ' ἔξω, καὶ διεμπολούμεθα
Θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο·
Αἱ μὲν ξένες πρὸς ἄνδρας, αἱ δὲ βαρβάρες,
Αἱ δ' εἰς ἀήθη δώμαθ', αἱ δ' ἐπίῤῥοθα.
Καὶ ταῦτ', ἐπειδὰν εὐφρόνη ζεύξῃ μία,
Χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν.

V. 5. legendum videtur ἡ ἄγνοια. V. 10. ἀήθη δώματα eſt lectio codicis. Impreſſi habent ἀληθῆ. Neutrum ſententiæ ſatis aptum videtur. Quibuſcumque moribus ſit et qualicumque fortuna utatur vir hoſpes vel barbarus, cui puella nuptum datur, haud ſecus *inſueta* eſt, quo ducitur, domus. Si per ἀληθῆ δώματα intelligas virum beatum et bene moratum, nec aliter intelligere poſſis, nihil eſt quod conqueratur puella tali conjuncta viro. Acutiſſime conjicit juvenis egregius felicis ingenii, cujus ante duos annos prodiit libellus emendationum in priſcos auctores, ſcripſiſſe poetam: αἱ δ' εἰς σαλευτὰ δώμαθ', *in domos quas fortuna adverſa exagitat, calamitatum fluctibus quaſſatas.* Hanc metaphoram amat Noſter. Vide Œd. Tyr. 23. Antig. 169. Electr. 1080. Ἐπίῤῥοθα valet ἐπίψογα, *flagitioſas domos, vituperio dignas.* Quæ ſignificatio Geſnerum latuit, qui vertit, *aut in veras familias, aut auxiliares.* Melior non eſt Grotii verſio. Hunc locum adtigit Valckenarius ad Eurip. Hippol. 628. Erudito viro ſuboluit veram vocem latere, quam eruit juvenis Germanus F. Jacobs.

VIII. Idem, tit. lxxxvi. p. 355.

Ἐν φύλῳ ἀνθρώπων μί' ἔδειξεν
Πατρὸς καὶ μητρὸς ἡμέας ἁμέρα
Τοὺς πάντας· ἐδεὶς ἔξοχος
Ἄλλος ἔβλαςεν ἄλλε.
Βόσκει δὲ τὲς μὲν μοῖρα δυσαμερίας
Τὲς δ' ὄλβος ἡμῶν·
Τὲς δὲ δελείας ζυγὸν
Ἔσχεν ἀνάγκας.

IX. Idem, tit. xcviii. p. 409.

Τὰν δ' ἀνθρώπε ζωὰν πόικιλομήτιδες ἆται
Πημάτων πάσαις μεταλλάσσεσιν ὥραις.

X. Idem, tit. cv. p. 435.

Μήπω μέγαν εἴπης, πρὶν τελευτήσαντ' ἴδης.

Verſus hic ad Tereum pertinet, non ad Tyronem, ad quam fabulam male refertur in Stobæi libris. Eo utitur Cicero ad Atticum, iv. 8. Heathius legendum eſſe contendit μήπω μέγ' εἴπης. Nimirum ne anapæſtus ſit in ſecunda ſede: ſed fallitur, ut et Gronovius ad Ciceronem.

XI. Idem, tit. cviii. p. 457.

Ἀλγεινὰ, Πρόκνη· δῆλον· ἀλλ' ὅμως χρεὼν
Τὰ θεῖα θνητὲς ὄντας εὐπετῶς φέρειν.

XII. Ariſtoteles de Poetica, cap. xvi. ubi de variis agnitionibus agit, exemplo utitur e Sophoclis Tereo petito. Locum difficilem, in cujus intellectu non conſentiunt interpretes, ſatis mihi ſit indicaſſe: Καὶ ἐν τῷ Σοφοκλέες Τηρεῖ ἡ τῆς κερκίδος φωνή.

XIII. Vide Lexicon in Αἴγλη. Φάρος.

ΤΡΙΠΤΟΛΕΜΟΣ Σατυρικός.

I. Dionyſius Halic. Antiq. lib. i. p. 10. Μαρτυρεῖ δέ μυ τῷ λογῳ Σοφοκλῆς μὲν ὁ τραγῳδοποιὸς ἐν Τριπτολέμῳ δράματι· πεποίηται γὰρ αὐτῷ Δημήτηρ διδάσκεσα Τριπτόλεμον, ὅσην χώραν ἀναγκασθήσεται σπείρων τοῖς δοθεῖσιν ὑπ' αὐτῆς καρποῖς διεξελθεῖν· μνησθεῖσα δὲ τῆς ἑῴυ πρῶτον Ἰταλίας, ἥ ἐςιν ἀπὸ ἄκρας Ἰαπυγίας μέχρι πορθμε Σικελικοῦ, καὶ μετὰ τἔτο τῆς ἀντικρὺ ἁψαμένη Σικελίας, ἐπὶ τὴν ἑσπέριον Ἰταλίαν αὖθις ἀναςρέφει, καὶ τὰ μέγιςα τῶν οἰκούντων τὴν παράλιον ταύτην ἐθνῶν διεξέρχεται, τὴν ἀρχὴν ἀπὸ τῆς Οἰνώτρων οἰκήσεως ποιησαμένη· ἀπόχρη δὲ ταῦτα μόνα λεχθέντα τῶν ἰαμβείων, ἐν οἷς φησι·

Τὰ δ' ἐξόπισθε, χειρὸς εἰς τὰ δεξιὰ
Οἰνωτρία τε πᾶσα, καὶ Τυρσηνικὸς
Κόλπος, Λιγυςική τε γῆ σε δέξεται.

II. Plinius, libro xviii. cap. 12. Sophocles Poeta in fabula Triptolemo frumentum Italicum ante cuncta *laudavit*, ad verbum tranſlata ſententia:

Et fortunatam Italiam frumento canere candido.

III. Sophoclis Triptolemi meminit Strabo, lib. i. p. 27. ubi docet Homerum in Geographicis accuratiorem ſerioribus poetis.

IV. Athenæus, p. 67. Μνημονεύει Σοφοκλῆς Τριπ7ολέμῳ τȣ͂ ταριχηρȣ͂ γάρȣ. Verſus exſtat integer in Pollucis Onomaſtico, vi. ſect. 65.

Οὐδ' ἡ τάλαινα δȣ͂σα ταριχηρȣ͂ γάρȣ.

Herodianus Pierſoni, p. 437. Ὁ γάρος ἀρσενικῶς, τὸν ἰχθύων γάρον· καὶ γάρον τὸν ἰχθυηρόν. Σοφοκλῆς.

V. Idem, p. 110. Ὀρίνδȣ δ' ἄρτȣ μέμνηται Σοφοκλῆς ἐν Τριπ7ολέμῳ, ἤτοι τȣ͂ ἐξ ὀρύζης γινομένȣ, ἢ ἀπὸ τȣ͂ ἐν Αἰθιοπίᾳ γιγνομένȣ σπέρματος, ὅ ἐςιν ὅμοιον σησάμῳ.

VI. Idem, p. 447. ex Caſauboni emendatione: Τὸν δὲ κρίθινον οἶνον, καὶ βρύτον τινὲς καλȣ͂σιν, ὡς Σοφοκλῆς ἐν Τριπ7ολέμῳ·

Βρύτον δὲ τὸν χερσαῖον ȣ̓διεῖν χαμαί.

VII. Harpocration: Μελίνη, ὀσπρίȣ ἐςὶ σπέρμα, καὶ ἀρσενικῶς λέγȣσι· θηλυκῶς δὲ Σοφ. Τριπ7ολέμῳ, Κνήμη μελίνης.

VIII. Scholiaſtes Pindari ad Olymp. x. initio: Σοφοκλῆς ἐν Τριπ7ολέμῳ·

Θὲς δ' ἐν φρενὸς δέλτοισι τȣ̀ς ἐμȣ̀ς λόγȣς.

IX. Vide Scholiaſtam noſtrum ad Œd. Col. 517. et Lexicon in Ἀμάλλαι. Ἀμφιπλὶξ. Ἀπυνδάκωτος. Ἀφράσμων. Δαίς. Εἰς ὀρθόν. Ἕλκη. Ζευγηλάτης. Θαιρός. Ἴαννα. Ἰλλυρίς.

ΤΡΩΙΛΟΣ Σατυρικός.

I. Schol. Pindari ad Nem. iii. 60. Περὶ δὲ τῆς μεταμορφώσεως τῆς Θέτιδος, καὶ Σοφοκλῆς φησὶν ἐν Τρωΐλῳ·

Ἔγημεν ὡς ἔγημεν ἀφθόγγȣς γάμȣς,
Τῇ παντομόρφῳ Θέτιδι συμπλακεὶς ποτέ.

II. Pollux, x. ſect. 165. Ξίφȣς δὲ ὄνομα ἔοικεν εἶναι βαρβαρικὸν ἡ σκαλμὴ, Σοφοκλέȣς εἰπόντος ἐν Τρωΐλῳ·

Σκαλμῇ γὰρ ὄρχεις βασιλὶς ἐκτέμνȣσ' ἐμούς.

III. Vide Lexicon in Ἀμάσεται. Ἀνδρόπαις. Ἀπέσκη. Ἄπιςος. Ἄσας. Ἀσόλοικον. Ἐλαιȣ͂ται. Ἕρκη. Ἰήϊος. Καταρβύλοις. Ναρόν. Σακοδερμίτης.

ΤΥΜΠΑΝΙΣΤΑΙ.

I. Stobæus, Floril. tit. lix. p. 227.

Τί τȣ͂δε χάρμα μεῖζον ἂν λάβοις ποτὲ
Τοῦ γῆς ἐπιψαύσαντα, κὐπό τῳ ςέγῃ
Πυκνῆς ἀκȣ͂σαι ψεκάδος εὑδούσῃ φρενί;

Partem hujus fragmenti refert Cicero in epiſt. ad Atticum, 7. li-

bri ii. *Cupio iſtorum naufragia ex terra intueri: cupio, ut ait tuus amicus Sophocles,* κἂν ὑπὸ ϛέγῃ πυκνᾶς ἀκούειν ψεκάδος εὑδούσῃ φρενί. Sic Sophoclea leguntur in Ciceronis editione, qua utor, Joſ. Oliveti, ad quæ nihil ille adtulit præter jejunam neſcio cujus notulam. Neſcio unde in Ciceronem venerit iſtud κἂν prorſus alienum. Sane in Stobæo tam impreſſo quam ſcripto legitur καὶ ὑπὸ ϛέγῃ, et reliqua, ut ea dedi. Andr. Schottus, qui Ciceronis locum protulit ad Zenobii Prov. iii. 95. dedit etiam κ̣ ὑπὸ—Verum inſuavem iſtum hiatum refugiebant Attici poetæ, quibus ſolemne κ̣ ὑπὸ contrahere in χὐπὸ, priore longa, ob craſin. Scripſiſſe opinor Sophoclem χὐπό τῳ ϛέγῃ, poſito τῳ pro τινὶ, quod, ut minus frequens, librariis fraudi fuit. Heathio placet καὶ ϛέγης ὕπο, quæ emendatio minus probabilis eſt.

II. Stephanus in Χαλδαῖοι.—Εἰσὶ δὲ Χαλδαῖοι ἔθνος πλησίον τῆς Κολχίδος. Σοφ. Τυμπανιϛαῖς·

Κόλχος τε, Χαλδαῖός τε, καὶ Σύρων ἔθνος.

III. Vide Scholiaſtam noſtrum ad Antig. 992. et Lexicon in Ἀδήμων. Ἀνετῶς. Ἀντιϛρέφω. Δράκαυλος. Ἐλύμους.

ΤΥΝΔΑΡΕΩΣ.

Stobæus, Floril. tit. cv. p. 431.

Οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας
Ἀνδρὸς, πρὶν αὐτῷ παντελῶς ἤδη βίος
Διεκπερανθῇ, καὶ τελευτήσῃ βίον.
Ἐν γὰρ βραχεῖ καθεῖλε κὠλίγῳ χρόνῳ
Πάμπλουτον ὄλβον δαίμονος κακοῦ δόσις,
Ὅταν μεταϛῇ, καὶ θεοῖς δοκῇ τάδε.

ΤΥΡΩ.

Tyronis hiſtoriam narrat Homerus, Odyſſ. Λ. 234. ubi tamen nihil eſt quod in ſcena exhiberi potuerit. Argumentum fuit Tyro a filiis agnita, quos ex Neptuno pepererat, quoſque ſtatim a partu expoſuerat, Neleo et Pelia: hi Sideronem Tyronis novercam interfecerunt. Τελειωθέντες δὲ ἀνεγνώρισαν τὴν μητέρα, καὶ τὴν μητρυιὰν ἀπέκτειναν Σιδηρώ, auctore Apollodoro, p. 46. editionis Heynii, cujus in notis omnia collecta quæ ad Tyronis hiſtoriam pertinent. Fabulam bis edidit Sophocles, unde modo prior, modo poſterior Tyro citatur.

I. Ariſtoteles de Rhetorica, lib. ii. cap. 25. Ἄλλος τόπος, τὸ ἀπὸ τȣ̃ ὀνόματος κατηγορεῖν, οἷον ὡς ὁ Σοφοκλῆς·

Σαφῶς Σιδηρὼ καὶ φοροῦσα τοὔνομα.

Ex alia fabula quam e Tyrone ſenarius hic eſſe non poteſt.

II. Comicus in Lyſiſtrata, 138.

Οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσιν αἱ τραγῳδίαι.

Οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.

Ad quem locum Scholiaſtes: Εἰς τὴν Σοφοκλέȣς δὲ Τυρὼ ταῦτα συντείνει, ἐκθεῖσαν τὰ τέκνα εἰς σκάφην. Alius: Εἰς τὴν Τυρὼ δὲ Σοφοκλέȣς αἰνίττεται καθεῖσαν τὰ τέκνα εἰς σκάφος—ὁ γὰρ Ποσειδῶν ἐμίγη Τυροῖ, καὶ ἐγέννησε Νηλέα καὶ Πελίαν.

III. Scholiaſtes Euripidis ad Oreſten in fine: Ἡ κατάληξις τῆς τραγῳδίας ἢ εἰς θρῆνον, ἢ εἰς πάθη καταλήγει· ἡ δὲ κωμῳδία γέλωσι καὶ εὐφροσύναις ἐνύφανται· ὅθεν ὁρᾶται τόδε τὸ δρᾶμα κωμικῇ καταλήξει χρησάμενον· διαλλαγαὶ γὰρ πρὸς Μενέλαον καὶ Ὀρέστην· ἀλλὰ καὶ ἐν τῇ Ἀλκήστιδι ἐκ συμφορῶν εἰς εὐφροσύνην, καὶ ἐν Τυροῖ Σοφοκλέȣς ἀναγνώρισμα κατὰ τὸ τέλος γίνεται.

IV. Ariſtoteles de Poetica, cap. xvi. Εἴδη δὲ ἀναγνωρίσεως· πρώτη μὲν ἡ διὰ σημείων· τούτων δὲ τὰ μὲν σύμφυτα, τὰ δὲ ἐπίκτητα· καὶ τούτων τὰ μὲν ἐν τῷ σώματι, οἷον ἐλαί· τὰ δὲ ἐκτὸς, τὰ περιδέραια· καὶ οἷον ἐν τῇ Τυροῖ διὰ τῆς σκάφης.

V. Pollux, iv. ſect. 141. ubi deſcribit tragicas perſonas: Τυρὼ πελιδνὴ τὰς παρειὰς παρὰ Σοφοκλεῖ.

VI. Scholiaſtes Ariſtophanis ad Aves, 276. Ἔξεδρον χώραν ἔχων] Ἐκ τῆς Σοφοκλέȣς δευτέρας Τυρȣ̃ς ἀρχή·

Τίς ὄρνις οὗτος ἔξεδρον χώραν ἔχων;

VII. Athenæus, p. 99. ubi χορτασθῆναι pro κορεσθῆναι adhiberi oſtendit: Σοφοκλῆς τε ἐν Τυροῖ·

Ὃν τοῖσι παγχόρτοισιν ἐξενίζομεν.

VIII. Idem, p. 475. Μνημονεύει δὲ τῶν καρχησίων καὶ Σαπφώ. Σοφοκλῆς δὲ Τυροῖ·

Προστῆναι μέσην

Τράπεζαν ἀμφὶ σιτία καὶ καρχήσια.

Proferuntur hæc etiam a Macrobio, Saturnal. v. 21. Quæ autem apud Athenæum ſequuntur, ipſius verba ſunt, rem apud Tragicum narratam obiter explicantis: πρὸς τὴν τράπεζαν φάσκων προσεληλυθέναι τοὺς δράκοντας, καὶ γενέσθαι περὶ τὰ σιτία καὶ τὰ καρχήσια. Caſauboni errorem corrigit Gataker. tom. i. p. 500.

IX. Stobæus, Floril. tit. xx. p. 107.

Πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ.

X. Idem, tit. xlvi. p. 177.

Ἄκων δ' ἁμαρτὼν οὔ τις ἄνθρωπος κακός.

Qui præcedit verſus Euripidis eſt in Auge: hic autem Sophoclis in Tyrone. Singulos ſuis auctoribus tribuit cod. Vindob.

XI. Idem tit. lxxxvii. p. 355.

Πολλῶν δ' ἐν πολυπληθίᾳ
Οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς,
Οὔτ' ἀχρείων ὁ λίαν κακός·
Βροτῶν δὲ πιστὸν οὐδέν.

XII. Idem, tit. xcix. p. 417.

Τίκτουσι γάρ τοι καὶ νόσους δυσθυμίαι.

XIII. Idem, tit. cx. p. 459.

Μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα.
Σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων.

XIV. Idem, tit. cxvi. p. 475.

Γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή.

XV. Ælianus de Nat. Animal. lib. ii. cap. 10. Μάλιστα δὲ κομῶσα ἵππος ἁβροτάτη τέ ἐστι καὶ θρυπτικωτάτη· ἀτιμάζει γοῦν ἀναβῆναι τοὺς ὄνους αὐτήν· ἵππῳ δὲ γαμουμένη ἥδεται, καὶ ἑαυτὴν ἀξιοῖ τῶν μεγίστων· ὅπερ οὖν συνειδότες οἱ βουλόμενοι ἡμιόνους σφίσι γενέσθαι, ἀποθρίσαντες τῆς ἵππου τὴν χαίτην εἰκῇ καὶ ὡς ἔτυχεν, εἶτα μέν τοι τοὺς ὄνους ἐπάγουσιν· ἡ δὲ ὑπομένει τὸν ἄδοξον ἤδη γαμέτην, πρῶτον αἰδουμένη· καὶ Σοφοκλῆς δὲ ἔοικε μεμνῆσθαι τοῦ πάθους. Morem equas tondendi, quo facilius aſines admittant, tangit rurſus xii. 16. verſuſque ipſos Sophoclis profert xi. 18. Θήλειαν δὲ ἵππον εἰς ἀφροδίσια λυττήσασαν πάνυ σφόδρα παῦσαι ῥαδίως ἐστὶν, ὡς Ἀριστοτέλης λέγει, ἤν τις αὐτῆς ἀποκείρῃ τὰς κατὰ τοῦ τένοντος τρίχας· αἰδεῖται γὰρ, καὶ οὐκ ἀγανακτήσει, καὶ παύσεται τῆς ὕβρεως καὶ τοῦ σκιρτήματος τοῦ πολλοῦ, καταψήσασα ἐπὶ τῇ αἰσχύνῃ· τοῦτό τοι καὶ Σοφοκλῆς αἰνίττεται ἐν τῇ Τυροῖ τῷ δράματι· πεποίηται δέ οἱ αὐτὴ λέγουσα, καὶ ἃ λέγει, ταῦτά ἐστι·

Κόμης δὲ πένθος λαγχάνω πώλου δίκην,
Ἥ τις ξυναρπασθεῖσα βουκόλων ὕπο,
Μάνδραις ἐν ἱππείαισιν ἀγρίᾳ χερὶ
Θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο·
Κύρσασα δ' ἐν λειμῶνι ποταμίων ποτῶν,
Ἴδῃ σκιᾶς εἴδωλον, αὐγασθεῖσ' ὑπὸ
Κουραῖς ἀτίμως διατετιλμένην φόβην.
Κείνην ἀνοικτίρμων τις οἰκτείρειεν ἂν

Οἷαισιν αἰσχύνησιν οἷα μαίνεται
Πενθοῦσα, καὶ κλαίουσα τὴν πάρος φόβην.

Hæc a Tyrone proferebantur, contumelias querente, quibus a noverca Siderone adficiebatur haud autem minus indigne a librariis mulcati fuerunt hi verſus, quos fœde depravatos legas apud Ælianum, et peſſime interpolatos in Excerptis Grotii, cui infeliciſſime omnium ceſſiſſet emendandi eorum conatus, niſi manum iis etiam admoviſſet Reiſkius. Deſcriptos eos habeo perquam accurate e duobus codicibus Bibliothecæ Regiæ. In 1. v. ex λαχανοπώλου pronum erat veram lectionem eruere λαγχάνω πῶλον, quod jam occupaverunt Tyrwhittus meus et Heathius. In 5. codicum lectio σπασθεῖσα caſſa eſt, ne quidem pro σπάσασα, σπασαμένη, ſenſu *ducendi, bibendi* accipienda. Conjectura Heathii ἀφεθεῖσα probari nequit, unde abſurdus oritur ſenſus. Nam qui ſe equa in flumine videre poſſit, a quo fuerit abacta? perſpicuum eſt enim nomina ποταμίων ποτῶν pendere a participio cujus in locum librariorum ſtupor ſuffecit illud σπασθεῖσα. Quod ſententia flagitat repoſui, κύρσασα. In 6. uterque cod. habet ἴδῃ, recte. Unus διατετιλμένη: ambo φοβῆς: mendoſe. Reliquorum tam concinna eſt lectio, ut de emendationis veritate nemo dubitare poſſit, niſi quis forte minus credat vocem φόβην tam paucis interjectis bis a Poëta fuiſſe adhibitam. Sane in ultimo verſu legi mallem τὴν πάρος χλιδήν.

XVI. Vide Lexicon in Δυσθυμία. Ἐρηνοβοσκός. Ἔχθιμα. Ἤνεγκον. Ταυροφάγον.

ΥΒΡΙΣ Σατυρική.

I. Stobæus, Floril. tit. xxvi. p. 119.

Λήθην τε καὶ τὴν πάντ' ἀπεστερημένην
Κωφήν, ἄναυδον.

II. Athenæus, p. 657. Δέλφακα δὲ ἀρσενικῶς εἴρηκε—Σοφ. Ὕβρει·
Ἐσθίειν ἐθέλω τὸν δέλφακα.

ΥΔΡΟΦΟΡΟΙ.

Vide Scholiaſtam noſtrum ad Antigonam, v. 1. Philoctetem, 1226. et Lexicon in Κοινός. Ὄχος.

ΦΑΙΑΚΕΣ.

Nullibi, quod ſciam, occurrit hic dramatis titulus, præterquam in Lexico MS. Bibliothecæ Cœnobii Benedictini ad S. Germanum

Parisiis, cujus excerpta mihi misit doctissimus Ruhnkenius. Vide Lexicon in Ἀποσημῆναι. Ἀρτύματα.

ΦΑΙΔΡΑ.

I. Stobæus, Eclog. p. 133.

Περιῶσι᾽ ἄφυκτά τε
Μήδεα παντοδαπᾶν βελᾶν
Ἀδαμαντίναις ὑφαίνεται
Κερκίσιν Αἶσα.

II. Idem, Floril. tit. xvii. p. 95.

Οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας
Τέρπειν, ὅπου μὴ καὶ δίκαια τέρψεται.

III. Idem, tit. xliii. p. 163.

Οὐ γάρ ποτ᾽ ἂν γένοιτ᾽ ἂν ἀσφαλὴς πόλις,
Ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα
Λάγδην πατεῖται, κωτίλος δ᾽ ἀνὴρ λαβὼν
Πανοῦργα χερσὶ κέντρα κηδεύει πόλιν.

Emendandi pruritum sedabit Theognis, ad quem Sophocles respexisse videtur:

Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
Ὀξέϊ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει.

Profert hos versus Luciani Scholiastes ad Lexiphanem, tom. ii. p. 336. ubi perperam legitur χερσὶν ἔργα κηδεύοι.—χερσὶ dat cod. Reg. pro vulgato χειροῖν.

IV. Idem, tit. lxiii. p. 245.

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται,
Οὐδ᾽ αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
Ψυχὰς ταράσσει, κἀπὶ πόντον ἔρχεται.
Καὶ τόνδ᾽ ἀπείργειν οὐδ᾽ ὁ παγκρατὴς σθένει
Ζεύς, ἀλλ᾽ ὑπείκει, καὶ θέλων ἐγκλίνεται.

Tres primos versus tamquam Euripidis profert Clemens Alex. Strom. vi. p. 745. unde eos Grotius, Excerpt. p. 435. inter Euripidis fragmenta ex incertis dramatibus retulit, non recordatus se eos jam in Florilegio pro Sophocleis exhibuisse, aliamque dedit versionem:

Non feminarum, non virûm præcordia
Cupido domitat sola, sed Superûm quoque
Perurit animos; penetrat et ponti vada.

Clementis in 3. versu recepimus lectionem ταράσσει, quam melio-

rem judicamus Stobæana χαράσσει. Ariſtophontis perquam lepidum fragmentum exſtat de Amore apud Athenæum, p. 563. quem a Diis e cœlo ejectum fingit, quia θεοὺς ἐτάρατλε, ἐμβάλλων στάσεις.

V. Idem, tit. lxix. p. 287.

Οὕτω γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν
Κακῆς ἀνὴρ κτήσαιτ᾽ ἄν, οὐδὲ σώφρονος
Κρεῖσσον· παθὼν δ᾽ ἕκαστος ὧν τύχῃ λέγει.

Heſiodi ſententia eſt in Operibus, 702. quem æmulatur Noſter:

Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ᾽ ἄμεινον
Τῆς ἀγαθῆς· τῆς δ᾽ αὖτε κακῆς οὐ ῥίγιον ἄλλο.

VI. Idem, tit. lxxiv. p. 321.

Ξύγγνωτε, κἀνάσχεσθε σιγῶσαι· τὸ γὰρ
Γυναιξὶν αἰσχρὸν ἐν γυναιξὶ δεῖ στέγειν.

VII. Idem, tit. cv. p. 439.

Τὸν δ᾽ εὐτυχοῦντα πάντ᾽, ἀριθμήσας βροτοὺς,
Οὐκ ἔστιν ὄντως ὅντιν᾽ εὑρήσεις ἕνα.

VIII. Idem, tit. cvii. p. 457.

Αἴσχη μὲν, ὦ γυναῖκες, οὐδ᾽ ἂν εἷς φύγοι
Βροτῶν ποθ᾽, ᾧ γε Ζεὺς ἐφορμήσοι κακά.
Νόσους δ᾽ ἀνάγκη τὰς θεηλάτους φέρειν.

Perperam Grotius, ver. 2. ᾧ κε Ζεὺς ἐφορμήσῃ, cod. καὶ—ἐφορμήσοι.

IX. Vide Lexicon in Ἀγκίραι. Ἄγος. Ἀελλάδες. Ἄκλειπτοι. Ἀπέπτυσε. Αὐτομόλως. Ἀψεφές. Κυλλαίνων. Μῶλυς.

ΦΙΛΟΚΤΗΤΗΣ ΕΝ ΤΡΟΙᾼ.

I. Stobæus, Floril. tit. cxxi. p. 493.

Ἀλλ᾽ ἴσθ᾽ ὁ θάνατος λοῖσθος ἰατρὸς νόσων.

II. Agellius Noctium Atticarum, lib. xiii. cap. 17. Sophoclis verſum e tragœdia laudat, cujus titulus in impreſſis corruptus eſt. Mihi certum videtur Sophoclem tragœdiam nullam ſcripſiſſe cui titulus fuerit ΦΥΛΕΤΙΔΕΣ. Quæ proferuntur ad hunc locum doctorum virorum conjecturæ, ſunt omnes futiles et rejiciendæ. Amplectenda erat lectio codicum eorum in quibus plane ſcriptum Φιλοκτήτης. Sic autem Agellius: *Sed etiam ille verſus non minus notus:*

Γέρων γέροντα παιδαγωγήσω σ᾽ ἐγώ.

et in tragœdia Sophocli ſcriptus eſt, cui titulus eſt Φιλοκτήτης, *et in Bacchis Euripidi.*

III. Priſcianus, lib. xviii. Σοφοκλῆς ἐν Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ·

Ὀσμῆς μόνον γ᾽ ὡς μὴ βαρυνθήσεσθέ μου.

ἀντὶ τοῦ, ὑπὸ τῆς ὀσμῆς.

IV. Vide Lexicon in Δράκοντα. Δρυοπαγῆ. Ζηλῶ. Ῥακτηρίοις.

ΦΙΝΕΥΣ Σατυρικός.

Ad hanc fabulam pertinent quæ leguntur apud Scholiaſtam Apollonii Rhodii, ii. 178. Ἐπηρώθη δὲ τὰς ὄψεις ὁ Φινεὺς κατὰ μὲν ἐνίους ὑπὸ τοῦ Ἡλίου, διὰ τὸ πολὺν χρόνον αἰτῆσαι μᾶλλον ζῆν, ἢ βλέπειν· κατὰ δὲ ἐνίους, ὅτι ἐπεβούλευσε Περσεῖ. Σοφοκλῆς δὲ, ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν Ὄαρθον καὶ Κράμβιν, πεισθεὶς διαβολαῖς Ἰδαίας τῆς αὐτῶν μητρυιᾶς. Scholiaſtes noſter ad Antig. 992. aliis nominibus Cleopatræ filios appellat.

I. Ariſtophanes, Pluto, 635.

Ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας.

ad quem verſum Scholiaſtes ita notat: Ἐκ Φινέως Σοφοκλέους ὁ ςίχος.

II. Pollux, vii. ſect. 193. Τὸ δὲ τῶν καπήλων ἐργαςήριον, καπηλεῖον εἰρήκασιν οἱ κωμῳδοδιδάσκαλοι, καὶ τὸ κωμῳδούμενον ἐν Σοφοκλέους Φινεῖ·

Βλέφαρον κέκλειςαί γ', ὡς καπηλεῖον θύρας.

Vide Toupium ad Suidam, ii. 68.

III. Athenæus, p. 119. Σοφοκλῆς τ' ἐν Φινεῖ ἔφη·

Νεκρὸς τάριχος εἰσορᾷν Αἰγύπτιος.

Jocoſe de Phineo hoc dictum, cui, ut eum deſcribit Argonauticorum Poeta, ii. 200.

πίνῳ αὐςαλέος χρὼς

Ἐσκλήκει, ῥινοὶ δὲ σὺν ὀςέα μοῦνον ἔεργον.

Ad eumdem plane modum quo de ſeniculo macie extenuato et rugoſo dicimus: *il reſſemble à une momie.* Ceterum e paucis hujus fabulæ reliquiis ſatis clare liquet ſatyricam eam fuiſſe. Si Heſychio fides in Ἀχάλκευτα et Stephano in Βόσπορος, bis edita fuit: ſed litera titulo adjecta, quam pro numerali nota acceperunt librarii, olim, ut conjicio, Σ fuit, et compendioſe Σατυρικῷ notabat.

IV. Stephanus: Βόσπορος—Σοφοκλῆς δ' ἐν Φινεῖ πρώτῳ διὰ διφθόγγου τὴν πρὸ τέλους φησὶ τὸ κύριον·

Οὐδ' ἂν τὸ Βοσπόρειον ἐν Σκύθαις ὕδωρ.

V. Vide Lexicon in Ἀπενώτισαν. Ἀρτύμασι. Ἀχάλκευτα. Καταρράκτης. Μάςακας.

ΦΟΙΝΙΞ.

Argumentum fuiſſe videtur Phœnix paternam fugiens domum

ob imprecationes irati Amyntoris. Rem ipſe narrat Phœnix in oratione ad Achillem, Iliadis ix. 447.

Vide Lexicon in Κινάρα. Φορβὰς γυνή.

ΦΡΙΞΟΣ.

I. Stephanus in Ἄςυ.—προάςιος· ὅτω γὰρ καὶ τὸ θηλυκὸν εὑρίσκεται, προαςία γῆ, ἐν Φρίξῳ Σοφοκλέους·

Ὅρια κελεύθου τῆσδε γῆς προαςίας.

II. Vide Lexicon in Ἀφελής.

ΦΡΥΓΕΣ.

Stobæus, Floril. tit. viii. p. 51.

Τοὺς εὐγενεῖς γὰρ κἀγαθοὺς, ὦ παῖ, φιλεῖ
Ἄρης ἐναίρειν· οἱ δὲ τῇ γλώσσῃ θρασεῖς,
Φεύγοντες ἄτας, ἐκτός εἰσι τῶν κακῶν.
Ἄρης γὰρ οὐδὲν τῶν κακῶν λογίζεται.

In 2. verſu ἐναίρειν in codice ſuperſcriptum vulgato συναίρειν.

Tragœdiam hoc titulo fecit etiam Æſchylus, ad quam pertinet obſervatio Scholiaſtæ ejuſdem Tragici ad Prometheum, 435. in qua mentio fit Phrygum Sophoclis ex librarii errore. Notum eſt ex Comici Ranis, 943. in Phrygibus Æſchyli Achillem ſedentem, capite velato et diu tacentem in ſcena conſpectum fuiſſe: itidemque Nioben ab Æſchylo exhibitam fuiſſe, quod forte Sophocles, quum Nioben doceret, imitatus eſt. Euripides apud Comicum, ubi Æſchylo vitia incipit objicere, hæc ait:

Πρώτιςα μὲν γὰρ ἕνα τιν᾽ ἐκάθισεν ἐγκαλύψας,
Ἀχιλλέα τιν᾽, ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνὺς,
Πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί.

Ad quæ veteres Critici hæc notant: Ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐςι, καὶ οὐκ ἀποκρινόμενος παρ᾽ Αἰσχύλῳ ἐν Φρυξὶν ἢ Ἕκτορος λύτροις· οὐδὲν δὲ ὁ Ἀχιλλεὺς φθέγγεται. Alius: εἰκὸς τὸν ἐν τοῖς Φρυξὶν ἢ Ἕκτορος λύτροις Ἀχιλλέα, ἢ τὸν ἐν Μυρμιδόσιν, ὃς μέχρι τριῶν ἡμερῶν οὐδὲν φθέγγεται. Inde liquet Æſchylei Scholiaſtæ notam ſic ſcribi debuiſſe: Σιωπῶσι παρὰ ποιηταῖς τὰ πρόσωπα, ἢ δι᾽ αὐθάδειαν, ὡς Ἀχιλλεὺς ἐν τοῖς Φρυξὶν Αἰσχύλου, ἢ διὰ τὴν συμφορὰν, ὡς ἡ Νιόβη παρὰ τῷ αὐτῷ καὶ παρὰ Σοφοκλεῖ.

ATQUE hæ ſunt Sophoclis fabulæ, quarum in antiquis monumentis memoria extiat. Longe quidem plures Fabricius in catalogo Sophoclis tragœdiarum deperditarum recenſuit titulos: ſed falſi et conficti ſunt perquam inepte, alii ex male acceptis auctorum teſtimoniis, alii ex ſcripturæ mendis, ut quum librarii ſcripſerunt Ἀκάμας pro Ἀθάμας: Ἀκύριοι, Κύριοι, Σκύριοι pro Σκύριαι: Ἵππωνι pro Ἱππόνῳ. etc.

ΑΠΑΝΙΣ non eſt titulus dramatis apud Heſych. in Ἀπάνθρωπος: ſed initium gloſſæ, quæ ſequi debebat. Fœde mulcatus fuit Heſychius, optimi lexici conditor, a male feriato homine, qui breviarium quod habemus confecit. Ex iſta mutila voce neſcio quot abſurdos titulos commenti ſunt interpretes, quibus omnibus catalogum ſuum auxit Fabricius.

ΕΡΕΧΘΕΥΣ non eſt Sophoclis tragœdia: verum Euripidis. Illi ſolius Stobæi fide tribuitur, cujus in Floril. tit. lix. legitur hic ſenarius Sophocli adſcriptus:

Ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος.

At in Reg. Stobæi codice lemma huic verſui adpoſitum Euripidi eum adjudicat perſpicua ſcriptura Εὐριπίδου Ἐρεχθεῖ. Bene itaque Barneſius eum Euripidei Erechthei fragmentis contulit.

ΙΛΙΟΥ ΑΛΩΣΙΣ nulla fuit. Vide ſupra ad Ἀντηνορίδαι.

ΙΟΚΑΣΤΗ nulla fuit. Male accepta Euſtathii verba ad Odyſſ. A. p. 67. Παρὰ Σοφοκλεῖ γοῦν ἡ Ἰοκάστη τοὺς ἐν Θήβαις εὐγενεῖς, Χώρας ἄνακτας λέγει. Hæc quidem dicit Iocaſta, non autem in cognomine dramate, verum in Œdipo Tyr. 930.

ΙΠΠΟΛΥΤΟΣ. Nullum fuit hoc titulo Sophoclis drama diverſum a Phædra; ut nec ullus fuit Euripidis Atreus diverſus a Thyeſte. Inde recte accipias Arriani verba in Diſſert. Epict. p. 149. Ἐμοὶ δὲ μὴ ἀρχὴ τὸ φαινόμενον; καὶ ποία τραγῳδία ἄλλην ἀρχὴν ἔχει; Ἀτρεὺς Εὐριπίδου τί ἐστι; τὸ φαινόμενον. Οἰδίπους Σοφοκλέους τί ἐστι; τὸ φαινόμενον. Φοίνιξ; τὸ φαινόμενον. Ἱππόλυτος; τὸ φαινόμενον. Intellige Atreum in Euripidis Thyeſte, et Hippolytum in Sophoclis

Phædra; nisi malis transpositas forte voces in sedem suam sic reponere: Ἱππόλυτος Εὐριπίδου τί ἐστι—Ἀτρεύς; τὸ φαινόμενον.

ΚΑΣΑΝΔΡΑ nulla fuit unquam. Casaubono fraudi fuit prava editio scholiorum in Hesiodum. Locum, quo deceptus fuit, uti legi debet, damus infra, xcviii. In editione Dan. Heinsii, p. 234. b. non comparent voces ἐν Κασάνδρᾳ, quæ addi debebant ad citationem ex Lycophrone.

ΜΕΛΑΝΙΠΠΗ. Non fuit hoc nomine drama Sophoclis. Citat quidem Scholiastes Comici ad Ranas versum ἐκ Μελανίππης Σοφοκλέους: sed vitium ibi est e male accepto scripturæ compendio; et legendum ἐκ Μελανίππης σοφῆς. Vide Valckenarii Diatr. Eurip. p. 49.

ΝΑΥΠΑΚΤΟΣ commentitius est titulus. Vide Kusterum ad Suidam in Κατουλάς.

ΤΕΚΜΗΣΣΗ haud minus stulte excogitata fuit quam Ἰοκάστη, ex his Eustathii verbis ad Iliad. Α. p. 780. Ἡ δὲ τοῦ Σοφοκλέους Τέκμησσα ἐν τῷ, Ὥστε μ' ὠδίνειν τι φῄς, τὸ ὑπερβολικῶς λυπεῖσθαι, ὠδίνειν εἰποῦσα—quæ pertinent ad Ajacem 805.

EX INCERTIS TRAGŒDIIS.

I. Stobæus, Eclog. p. 119.

Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.

II. Ibidem, p. 125.

Τὸ χρύσεον δὲ τῆς Δίκης
Δέδορκεν ὄμμα, τὸν δ' ἄδικον ἀμείβεται.

III. Ibidem, p. 133.

Κλύετε Μοῖραι,
Διὸς αἵ τε παρὰ θρόνον ἀγχόταται
Ἑζόμεναι.

IV. Ibidem.

Ἔρρης ἄρ', οὐδὲ γῆς ἔνερθ' ᾤχου θανών;
Οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται.

V. Ibid. p. 141.

Πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς τὸ φῶς ἄγει.

VI. Ibid. p. 171.

Ἀλλ᾽ οὐ γὰρ ἂν τὰ θεῖα, κρυπτόντων θεῶν,
Μάθοις ἂν, οὐδ᾽ εἰ πάντ᾽ ἐπεξέλθοις σκοπῶν.

VII. In Eclogarum Stobæi editione Antverpiensi leguntur ista Sophoclis, p. 17.

Χρόνος αὖ χαρὸ ἅμα κρατεᾶ τερμοσύνα βίυ
Πόλλ᾽ ἂν εὑρίσκει σοφὰ μαιομένοις.

Emendandi conatus Grotio et Heathio male cessisse mihi videtur: judicent periti, an melius conjecerim:

Χρόνος αὖ μακρὸς ἅμα κραταιᾷ
Ἀχρημοσύνᾳ βίυ
Πόλλ᾽ ἂν εὑρίσκοι σοφὰ μαιομένοις.

VIII. Stobæus, Floril. tit. ii. p. 13.

Σκαιοῖσι πολλοῖς εἷς σοφὸς διόλλυται.

IX. Tit. iii. p. 17.

Ἐσθλὲ γὰρ ἀνδρὸς τοὺς ποιῦντας ὠφελεῖν.

Hunc versum Sophocli adscribere debebat Grotius: non autem pravum senarium excudere e philosophi nescio cujus sententia quæ præcedit in Gesneri edit. p. 36. Ὡς ὄψις ἐν ὀφθαλμῷ, νῦς ἐν τῇ ψυχῇ.

X. Tit. iv. p. 27. seqq.

Ἀλλ᾽ οἱ κακῶς πράσσοντες, οὐ κωφοὶ μόνον,
Ἀλλ᾽ οὐδ᾽ ὁρῶντες εἰσορῶσι τἀμφανῆ.

Ὡς δυσπέλαστόν ἐστιν ἀμαθία κακόν.

Ἡ δὲ μωρία
Μάλιστ᾽ ἀδελφὴ τῆς πονηρίας ἔφυ.

Ἐνταῦθα μέν τοι πάντα τἀνθρώπων νοσεῖ,
Κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά.

Ταῦτ᾽ ἐστὶν ἄλγιστ᾽, ἂν, παρὸν θέσθαι καλῶς,
Αὐτός τις αὑτῷ τὴν βλάβην προσθῇ φέρων.

XI. Tit. v. p. 35. seq.

Οὐκ ἔστ᾽ ἀπ᾽ ἔργων μὴ καλῶν ἔπη καλά.

Hunc versum Sophocli diserte tribuit Plutarch. de Aud. Poët. p. 47.

Χαίρειν ἐπ᾽ αἰσχραῖς ἡδοναῖς οὐ χρή ποτε.

XII. Tit. viii. p. 53.

Οὐ τοῖς ἀθύμοις ἡ τύχη ξυλλαμβάνει.

XIII. Tit. xiii. p. 83.

Αἰδὼς γὰρ ἐν κακοῖσιν οὐδὲν ὠφελεῖ.

Ἡ γὰρ σιωπὴ τῷ λαλοῦντι σύμμαχος.

Eadem ſententia Chorus in Trachiniis 826. Deianiram hortatur, ut objectum a filio crimen diſſolvat.

XIV. Tit. xviii. p. 97.

Τί ταῦτ' ἐπαινεῖς; πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ
Ἥσσων μὲν ὀργῆς ἐςὶ, τȣ̃ δὲ νȣ̃ κενός·
Φιλεῖ δὲ, πολλὴν γλῶσσαν ἐκχέας μάτην,
Ἄκων ἀκούειν ἅπερ ἑκὼν εἶπεν κακῶς.

Hi verſus citantur partim a Plutarcho, Moral. p. 89. et Clemente Alex. p. 181.

XV. Tit. xxiv. p. 119.

Κλέπτων δ' ὅταν τις ἐμφανῶς ἐφευρεθῇ,
Σιγᾷν ἀνάγκη, κᾂν καλὸν φέρῃ ςόμα.

Ἦ δεινὸν ἆρ' ἦν, ἡνίκ' ἄν τις ἐσθλὸς ὢν
Αὐτῷ ξυνειδῇ.

XVI. Tit. xxviii. p. 123.

Ὅρκοισι γάρ τοι καὶ γυνὴ φεύγει πικρὰν
Ὠδῖνα παίδων· ἀλλ' ἐπὰν λήξῃ κακοȣ̃,
Ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται,
Πρὸς τȣ̃ παρόντος ἱμέρȣ νικωμένη.

Ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φηλήτῃ βαρύς.

XVII. Tit. xxix. p. 129.

Πόνȣ μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς.

XVIII. Tit. xli. p. 161.

Μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος.
Κλεῖθρον γὰρ οὐδέν· ὡς δ' ἂν εὐπετὴς λάϐοις,
Γλώσσης κρυφαῖον ȣ̓δὲν ȣ̓ διέρχεται.

XIX. Tit. xliii. p. 165.

Ὅπȣ γὰρ οἱ φύσαντες ἡσσῶνται τέκνων,
Οὐκ ἔςιν αὕτη σωφρόνων ἀνδρῶν πόλις.

Ex Pierſoni certa emendatione dedi *φύσαντες* pro veteri lectione *φυλάσσοντες*, cui neſcio cur Grotius ſuffecerit *φυλακτῆρες* haud meliori ſenſu, nec minus reclamante metro.

Νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις, καλόν.

XX. Tit. xlv. p. 175.

Πολλῶν καλῶν δεῖ τῷ καλῶς τιμωμένῳ·
Μικρȣ̃ δ' ἀγῶνος ȣ̓ μέγ' ἔρχεται κλέος.

XXI. Tit. liv. p. 205.

Γνῶμαι πλέον κρατȣ̃σιν, ἢ σθένος χερῶν.

XXII. Tit. lxii. p. 237.

Εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος.

XXIII. Tit. lxiii. p. 239.

Ὦ παῖδες, ἥ τοι Κύπρις, οὐ Κύπρις μόνον,
Ἀλλ' ἐστὶ πολλῶν ὀνομάτων ἐπώνυμος.
Ἔστιν μὲν Ἅδης, ἐστὶ δ' ἄφθιτος βία,
Ἔστιν δὲ λύσσα μαινὰς, ἐστὶ δ' ἵμερος
Ἄκρατος, ἔστ' οἰμωγμός· ἐν κείνῃ τὸ πᾶν,
Σπουδαῖον, ἡσυχαῖον, ἐς βίαν ἄγον.
Ἐντήκεται γὰρ πνευμόνων ὅσοις ἔνι,
Ψυχὴ τίς οὐχὶ τῆσδε τῆς θεοῦ βορά;
Εἰσέρχεται μὲν ἰχθύων πλωτῷ γένει·
Ἔνεστι δ' ἐν χέρσου τετρασκελεῖ γονῇ·
Νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερὸν,
Ἐν θηρσὶν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω.
Τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν;
Εἴ μοι θέμις, θέμις δὲ τἀληθῆ λέγειν,
Διὸς τυραννεῖ πνευμόνων, ἄνευ δορός·
Ἄνευ σιδήρου πάντα τοι συντέμνεται
Κύπρις τὰ θνητῶν καὶ θεῶν βουλεύματα.

Primos hujus fragmenti verſus recitat Plutarchus Moralium p. 757. In 8. βορὰ Grotii emendatio eſt. Tam priorum editt. βορὸς lectio eſt, quam codicis, quem in ceteris ſecutus ſum. Notanda eſt hypallage πνευμόνων ὅσοις, pro πνεύμοσιν ὅσων. Sic enim ordinanda et ſupplenda eſt phraſis: ὅσων γὰρ ἐν πνεύμοσιν ἐκτήκεται ἡ Κύπρις, τούτων τίς ψυχὴ οὐ γίνεται τῆσδε τῆς θεοῦ βορά;

XXIV. Tit. lxvii. p. 275.

Τίς δ' οἶκος ἐν βροτοῖσιν ὠλβίσθη ποτὲ,
Γυναικὸς ἐσθλῆς χωρὶς, ὀγκωθεὶς χλιδῇ;

XXV. Tit. lxxiii. p. 311.

Κατ' ὀρφανὸν γὰρ οἶκον ἀνδρόφρων γυνή.

XXVI. Tit. xcvi. p. 385.

Πενία δὲ συγκραθεῖσα δυσσεβεῖ τρόπῳ
Ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον.

Hi verſus ſupra ſoccum adſurgunt, et Sophocleo colore nitent. Librarii errore Diphilo tributi ſunt, cujus nomen proxime ſequenti verſui præſcribi debuit.

XXVII. Tit. xcviii. p. 395. et ſeqq.

Ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος·

Ὡς οὐδὲν ἐσμὲν, πλὴν σκιαῖσιν εἰκότες,
Βάρος περισσὸν γῆς ἀναστρωφώμενοι.

Οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακῶν.

Ὦ δαῖμον, ὡς οὐκ ἔστ' ἀποστροφὴ βροτοῖς
Τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν.

Ζώοι τις ἀνθρώπων,
Τὸ κατ' ἦμαρ ὅπως ἥδιστα πορσύνων,
Τὸ δ' ἐς αὔριον αἰεὶ τυφλὸν ἕρπει.

Hi verſus in codice Vindob. tribuuntur Sophocli.

XXVIII. Tit. cviii. p. 457.

Στέργειν δὲ τἀμπεσόντα, κ' εὖ θέσθαι πρέπει
Σοφὸν κυβευτὴν, ἀλλὰ μὴ στένειν τύχην.

XXIX. Tit. cxi. p. 463.

Ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν.

XXX. Tit. cxviii. p. 485.

Οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς
Θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος,
Προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα.

XXXI. Tit. cxxii. p. 497. ſeq.

Τὸ μὴ γὰρ εἶναι κρεῖσσον, ἢ τὸ ζῆν κακῶς.

Ὅστις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου,
Ἢ δειλός ἐστιν, ἢ δυσάλγητος φρένας.

XXXII. Tit. cxxiii. p. 503.

Θανόντι κείνῳ συνθανεῖν μ' ἔρως ἔχει.
Ἥξεις, ἐπείγου μηδὲν, εἰς τὸ μόρσιμον.

XXXIII. Excerpta Ruhnkenii e Stobæo MS.

Τἀληθὲς αἰεὶ πλεῖστον ἰσχύει λόγου.

XXXIV. Porphyrius in libro de Styge apud Stobæum, ſerm. ciii. p. 563. Ἥ τε γὰρ αἴγειρος, ὥς φασιν ἄλλοι τε καὶ Πλούταρχος, φιλοπενθὴς καὶ ἀτελὴς πρὸς καρπογονίαν· διὸ καὶ Σοφοκλῆς ἔν τισι φησίν·

Οὐ χρή ποτ' ἀνθρώπων
Μέγαν ὄλβον ἀποβλέψαι.
Τανυφλοίου γὰρ ἰσαμέριος
Ὅστις αἰγείρου βιοτὰν ἀποβάλλει—

Sophoclea dedi ad fidem Reg. codicis. Sententia haud abſoluta eſt. Pro ἀτελὴς in Porphyrii verbis codex habet εὐτελής.

XXXV. Idem de Antro Nympharum, cap. xviii. Πηγαὶ δὲ καὶ νάματα οἰκεῖα ταῖς ὑδριάσι Νύμφαις, καὶ ἔτι γε μᾶλλον Νύμφαις ταῖς ψυχαῖς, ἃς ἰδίως μελίσσας οἱ παλαιοὶ ἐκάλουν, ἡδονῆς ἔσας ἐργαστικάς· ὅθεν καὶ Σοφοκλῆς οὐκ ἀνοικείως ἐπὶ τῶν ψυχῶν ἔφη·

Βομβεῖ δὲ νεκρῶν σμῆνος, ἄλλη δ' ἔρχεται.

XXXVI. Helladius, Chreftom. p. 4. Ὅτι ὁ στίχος, ὁ καὶ παροιμιαζόμενος,

Ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω.

ἐστι μὲν Σοφοκλέȣς· τοῦτον δὲ παρῳδήσας ὁ Φιλωνίδης ἔφη·

Ὅρκȣς δὲ μοιχῶν εἰς τέφραν ἐγὼ γράφω.

οἱ δὲ τὰς γυναῖκας σκώπτοντες φασὶν,

Ὅρκους ἐγὼ γυναικὸς εἰς οἶνον γράφω.

Sic ultimum verfum, qui Xenarchi Comici eft, recitat Athenæus, p. 441. ubi alia multa facete dicta profert in mulierum temulentiam.

XXXVII. Athenæus, lib. i. p. 23. Κατακεῖσθαι δὲ λέγεται, καὶ κατακεκλίσθαι—ἐστι δὲ εὑρεῖν καὶ ἐπὶ ἐννοίας ταύτης σπανίως τὸ ἀνακεῖσθαι. Σάτυρος παρὰ Σοφοκλεῖ τοῦτό φησιν.

Ἐπικαιόμενος τῷ Ἡρακλεῖ ἀνακειμένῳ
Μέσον ἐς τὸν αὐχέν' εἰσαλοίμην.

Videntur ifta derivata ex Hercule ad Tænarum.

XXXVIII. Ibidem, p. 33.

Ὦ γλῶσσα σιγήσασα τὸν πολὺν χρόνον,
Πῶς δῆτα τλήσει πρᾶγμ' ἐπεξελθεῖν τόδε;
Ἡ τῆς ἀνάγκης ȣ̓δὲν ἐμβριθέστερον,
Ὑφ' ἧς τὸ κρυφθὲν ἐκφανεῖς ἀνάκτορον.

XXXIX. Idem, lib. ii. p. 39. Ἀπὸ τῆς ἀλλοιȣ́σης τὴν γνώμην, καὶ πρὸς τὸ ψευδὲς τρεπούσης εὐθυμίας, ἣ γίνεται κατὰ τὴν μέθην—Σοφοκλῆς φησὶ,

Τὸ μεθύειν πημονῆς λυτήριον.

XL. Euftathius ad Iliad. Α. p. 769. Ὡς τὸ δρυμὸν καὶ ὁ δρυμὸς, καὶ τὰ ἄλλα, οὕτω διγενὲς καὶ τὸ μόρον· καὶ ἀρσενικὸν μὲν αὐτȣ̃ ἐν τῷ,

Πρῶτον μὲν ὄψει λευκὸν ἀνθοῦντα στάχυν,
Ἔπειτα φοινίξαντα γογγύλον μόρον·
Ἔπειτα γῆρας λαμβάνεις Αἰγύπτιον.

Sophoclis verfus funt tefte Athenæo, p. 51. et auctore lexici MS. in Bibl. Sangerm. cui foli tertius verfus debetur in Αἰγύπτιον γῆρας. Non eft in Athenæi epitome, quam defcripfiffe videtur Euftathius: quamquam, fi opus integrum habuit, verfum illum omittere potuit, ut inutilem rei quam propofuerat confirmandæ.

XLI. Athenæus, lib. iii. p. 99. et ex eo Eustathius ad Odyss. ψ. p. 810. Ἐϛι δὲ μόχλος ϐ μόνον μηχανῆς ξύλον τι, ἀλλὰ καὶ θύρας ὀχεὺς, ὃ καὶ ἐπιϐλὴς ἐν Ἰλιάδι· τροπικῶς δὲ καὶ ὁ φύλαξ παρὰ Σοφοκλεῖ, οἷον·

Θάρσει· μέγας σοι τϐδ᾽ ἐγὼ φόϐϐ μόχλος.

Subjicit Athenæus: Κἀν ἄλλοις δὲ τὴν ἄγκυραν Σοφοκλῆς ἰσχάδα κέκληκεν, διὰ τὸ κατέχειν τὴν ναῦν·

Ναῦται δ᾽ ἐμηρύσαντο νηὸς ἰσχάδα.

XLII. Idem, lib. vii. p. 277.

Χορὸς δ᾽ ἀναύδων ἰχθύων ἐπεῤῥόθει,

Σαίνοντες οὐραίοισι τὴν κεκτημένην.

Sic a Poeta hos versus scriptos fuisse opinor in Achillis Amatoribus, ubi Peleus narrabat, quo modo Thetide per vim potitus fuisset: et primo quidem describebatur ad litus accedens marina Dea, delphino forte vecta, circumnatante piscium turba, qui dominam caudis adulabant. Facete Sophocleis Athenæus usus est, cujus hæc verba sunt: Πολλῶν οὖν ὄντων τῶν ἰχθύων, οὓς κατὰ τὰς ἑκάϛας ὥρας ἐνδαινύμεθα· καλὰ γὰρ τὸν Σοφοκλέα, Χορὸς δ᾽ ἀναύδων ἰχθύων ἐπεῤῥόθει σαίνϐσιν οὐραίοισιν, ϐ τὴν κεκτημένην, ἀλλὰ τὰς λοπάδας.

XLIII. Idem, lib. x. p. 428. Καὶ Σοφοκλῆς ἐν δράματι σατυρικῷ φησὶν ὡς ἄρα,

Τὸ πρὸς βίαν πιεῖν

Ἴσον κακὸν πέφυκε τῷ διψῆν βίᾳ.

XLIV. Idem, lib. x. p. 433. Τὸ δίψος γὰρ πᾶσιν ἰσχυρὰν ἐπιθυμίαν ἐμποιεῖ, τὴν περὶ τῆς ἀπολαύσεως· διὸ καὶ ὁ Σοφοκλῆς φησί·

Διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ,

Οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς.

XLV. Idem, lib. xi. in fragmento a Casaubono edito, p. 494. in Ἀρύϐαλλος—λέγϐσι δὲ καὶ πρόχϐν ἄρυϛιν· Σοφοκλῆς·

Κακῶς σὺ πρὸς θεῶν ὀλϐμένη,

Ἡ τὰς ἀρύϛεις ὧδ᾽ ἔχϐσ᾽ ἐκώμασας.

Huc pertinet Hesychii glossa: Ἀρύϛεις, τὰς ἀπνευϛὶ πόσεις· τὰ δὲ αὐτὰ καὶ ἀρυϛῆρας καὶ ἀρυϛίχϐς ἐκάλϐν.

XLVI. Idem, lib. xv. p. 688. Καὶ ὁ Σοφοκλῆς δὲ τὰς ἀπολελυμένας τϐ φόϐϐ πεποίηκε λεγούσας·

Θυμῷ δ᾽ ϐκ ἔτι φαιδρὰ χορεύει

Τάρϐϐς θυγάτηρ.

Trepidationem, τὴν πήδησιν τῆς καρδίας, filiam Pavoris appellat. Est autem φαιδρὰ neutrum plurale adverbii vice, ut in Œd. Col. 324. quod frequentissimum.

XLVII. Etymol. M. p. 601. extrema : Νεῖκος, ἡ φιλονεικία, παρὰ τὸ νέοις ἐοικέναι· ἡ γὰρ φιλονεικία τοῖς νεαροῖς ἁρμόζει. Σοφοκλῆς·

Ὕβρις δέ τοι
Οὐ πώ ποθ' ἥβης εἰς τὸ σῶφρον ἵκετο,
Ἀλλ' ἐν νέοις ἀνθεῖ τε καὶ φθίνει πάλιν.

Etymologici mendas detersit Piersonus ad Mœrin, p. 181.

XLVIII. Clemens Alex. Pædag. iii. p. 286. Ἁβροδίαιτον ἐπονειδίζων νεανίαν ὁ Σοφοκλῆς, λέγει·

Γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν.

Verbum est ἐμπρέπεις, perperam ab editoribus pro nomine acceptum : non animadversum errorem in versione retulit Grotius :

Qui mentiuntur feminas amictibus.

XLIX. Idem, Strom. v. p. 659.

Καὶ τὸν θεὸν τοιοῦτον ἐξεπίσταμαι,
Σοφοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεὶ,
Σκαιοῖς δὲ φαῦλον κἂν βραχεῖ διδάσκαλον.

Duos posteriores versus profert Plutarchus, Mor. p. 406. Æque vera videretur sententia, si duabus transpositis vocibus legeretur :

Σκαιοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεὶ,
Σοφοῖς δὲ φαῦλον κἂν βραχεῖ διδάσκαλον.

Sed alterum tuetur auctoritas librorum. In his nihil decerni potest, quum ignoretur a qua persona et qua occasione sententia recitata fuerit.

L. Idem, Strom. v. p. 716. et Eusebius, P. E. p. 680.

Τὴν τοῦδε γάρ τοι Ζεὺς ἔγημε μητέρα,
Οὐ χρυσόμορφος, οὐδ' ἐπημφιεσμένος
Πτίλον κύκνειον, ὡς κόρην Πλευρωνίαν
Ὑπημβρύωσεν· ἀλλ' ὁλοσχερὴς ἀνήρ.
* * * * *
Ταχὺς δὲ βαθμοῖς νυμφικοῖς ἐπεστάθη
Ὁ μοιχός - - - - - - - -
Ὁ δ' οὔτε δαιτὸς, οὔτε χέρνιβος θίγων
Πρὸς λέκτρον ᾔει, καρδίαν ὠδαγμένος·
Ὅλην δ' ἐκείνην εὐφρόνην ἐθρύπτετο.

E satyrica fabula Hercule ad Tænarum versus hi derivati esse videntur : non enim de aliis, quam Herculis natalibus, furtivoque Jovis cum Alcmena concubitu in illis agitur. In ultimo versu Eusebius legit, ἐθόρνυτο.

LI. Idem, p. 722. Justinus de Monarchia, p. 167.

Ἔσαι γὰρ, ἔσαι κεῖνος αἰῶνος χρόνος,
Ὅταν πυρὸς γέμοντα θησαυρὸν σχάσῃ
Χρυσωπὸς αἰθὴρ, ἡ δὲ βοσκηθεῖσα φλὸξ
Ἅπαντα τἀπίγεια καὶ μετάρσια
Φλέξει μανεῖσα - - - - - -
- - - - ἐπὰν δ' ἄρ' ἐκλίπῃ τὸ πᾶν,
Φροῦδος μὲν ἔσαι κυμάτων ἅπας βυθὸς,
Γῆ δ' ἑδράνων ἔρημος· οὐδ' ἀὴρ ἔτι
Πτερωτὰ φῦλα βαςάσει πυρούμενος.
Κᾄπειτα σώσει πάνθ' ἃ πρόσθ' ἀπώλεσεν.

Hi verſus non magis ſunt Sophoclis, quam illi qui proxime ſequuntur, quorum ſuppoſitionem abunde demonſtravit Bentleius in Epiſtola ad Millium. Eos certatim alter alterum deſcribentes a Juſtino uſque omnes allegarunt Chriſtianorum dogmatum vindices. Unum Clementem, p. 63. et 717. adire ſatis fuerit.

Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐςιν θεὸς,
Ὃς ἐρανόν τ' ἔτευξε καὶ γαῖαν μακρὰν,
Πόντε τε χαροπὸν οἶδμα κἀνέμων βίας.
Θνητοὶ δὲ πολλοὶ καρδίαν πλανώμενοι
Ἱδρυσάμεσθα, πημάτων παραψυχὴν,
Θεῶν ἀγάλματ' ἐκ λίθων, ἢ χαλκέες,
Ἢ χρυσοτεύκτες, ἢ 'λεφαντίνες τύπες·
Θυσίας τε τούτοις καὶ καλὰς πανηγύρεις
Νέμοντες, ὅτως εὐσεβεῖν νομίζομεν.

LII. Idem, Strom. ii. p. 494. Εὖ γὲν ἡ τραγῳδία περὶ τοῦ Ἅδου γράφει·

Πρὸς δ' οἷον ἥξεις δαίμονα,
Ὃς ὅτε τοὐπιεικὲς οὔτε τὴν χάριν
Ἤδη· μόνην δ' ἔςεργε τὴν ἁπλῶς δίκην.

Auctorem horum verſuum Clementi non nominatum, Sophoclem eſſe teſtatur Plutarchus in Erotico, p. 761. Primi in fine a mala manu additæ voces ὡς ἔρωτα litura emendandæ erant. Grotius ſubſtituit ὡς ἀρηρότα: Heathius aliud, ad mentem Latini interpretis.

Quædam apud Clementem leguntur, quæ ille ſcribendi feſtinantia et memoriæ lapſu Sophocli falſo tribuit. Æſchyli verſus Choeph. 503. quos in promtu habebat, codice non inſpecto, allegavit tamquam Sophoclis, Strom. ii. p. 504. Ibid. iv. p. 574. Tragico noſtro tribuit ſententiam quæ Euripidis eſt in Œdipo,

teſte Stobæo, Floril. tit. i. Porro, p. 726. poetæ neſcio cujus epici hexametros profert duos, e quibus Grotius in Excerptis pravos anapæſtos fecit, quos pro Sophocleïs nemo adgnoſcat. Hoc idcirco moneo, ne quis opinetur me imprudentem iſta prætermiſiſſe. Heathii, licet in ſuperſtitum ſcenicorum poetarum lectione valde triti, errores ſunt hujus generis non pauci. Sed quis memoria ita polleat, ut quæcumque legerit, ſimul ac fiunt obvia, ſtatim recordetur apud quem auctorem prius illa viderit? Duo ſenarii, quos citat Suidas in Ἄξιος λαϐεῖν, Euripidis ſunt in Medea, 323. Verſus quem citat in Ψεῦσον, Ariſtophanis eſt in Theſmoph. 877. Proverbium quod in voce Ἀηδὼν inter duas Sophocleas χρήσεις importune inſertum fuit ab inepto librario, quodque ſuo loco juxta literarum ſeriem legitur, pro Sophocleo fragmento venditari non debebat.

LIII. Plutarchus in Timoleonte, p. 253. Τῶν δὲ Τιμολέοντος ἔργων οὐδέν ἐστιν, ᾧ μὴ τὰ τοῦ Σοφοκλέους ἐπιφωνεῖν ἔπρεπεν·

Ὦ θεοί, τίς ἄρα Κύπρις, ἢ τίς ἵμερος
Τοῦδε ξυνήψατο;

LIV. Idem in Pompeio, p. 661. et de Aud. poetis, p. 33.

Ὅς τις δὲ πρὸς τύραννον ἐμπορεύεται,
Κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

LV. Idem in Alexandro, p. 667. Philippus Alexandrum filium πείθειν ἐπειρᾶτο μᾶλλον ἢ προστάττειν, καὶ τοῖς περὶ μουσικὴν καὶ τὰ ἐγκύκλια παιδευταῖς οὐ πάνυ τι πιστεύων, τὴν ἐπιστασίαν αὐτοῦ καὶ κατάρτισιν, ὡς μείζονος οὖσαν πραγματείας, καὶ κατὰ τὸν Σοφοκλέα,

Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα,

μετεπέμψατο Ἀριστοτέλην. [Conf. Op. Mor. p. 767.]

LVI. Idem in Demetrio, p. 911. Ὁ Σοφοκλέους Μενέλαος ταύτην εἰκόνα ταῖς αὑτοῦ τύχαις παρατίθησιν·

Ἀλλ' οὑμὸς αἰεὶ πότμος ἐν πυκνῷ θεοῦ
Τροχῷ κυκλεῖται, καὶ μεταλλάσσει φύσιν.
Ὥσπερ σελήνης δ' ὄψις εὐφρόνας δύο
Στῆναι δύναιτ' ἂν οὔ ποτ' ἐν μορφῇ μιᾷ,
Ἀλλ' ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα,
Πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
Χὤταν περ αὑτῆς εὐγενεστάτη φανῇ,
Πάλιν διαρρεῖ, κἀπὶ μηδὲν ἔρχεται.

[Conf. Op. Mor. p. 282.]

LVII. Idem in Artaxerxe, p. 1025. Καθόλου μὲν ἴσως τὸ Σοφόκλειον·

Ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ.

LVIII. Idem in libro de Aud. poetis, p. 16.

Ἔργου δὲ παντὸς ἤν τις ἄρχηται καλῶς,
Καὶ τὰς τελευτὰς εἰκὸς ἔσθ' οὕτως ἔχειν.

Ibid. p. 17.

Στενωπὸς Ἅδου καὶ παλίῤῥοια βυθοῦ.

Ibid. p. 21.

Τὸ κέρδος ἡδὺ, κἂν ἀπὸ ψευδῶν ἴῃ.

Perperam Grotius in fine ſenarii dedit ἔῃ. Eamdem ſententiam vide in Æthiopibus i. et Electræ in v. 61. quem Heathius inter incerta fragmenta retulit.

Οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι.

Γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ.

Οὐδὲν κακίων πτωχὸς, εἰ καλῶς φρονοῖ.

Ἀλλὰ τῶν πολλῶν καλῶν
Τίς χάρις, εἰ κακόβουλος φροντὶς
Ἐκτρέφει τὸν εὐαίωνα πλοῦτον;

Ὡς τρισόλβιοι
Κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη
Μόλωσ' ἐς Ἅδου· τοῖσδε γὰρ μόνοις ἐκεῖ
Ζῆν ἐστι, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά.

In fabulæ loco, unde hæc derivata, mentio erat forte τοῦ λειμῶνος τοῦ τοῖς μύσταις ἀνακειμένου, cujus Sophoclem auctorem laudat Scholiaſtes Comici ad Ranas, 347.

Ibid. p. 23.

Τυφλὸς γὰρ, ὦ γυναῖκες, οὐδ' ὁρῶν Ἄρης
Συὸς προσώπῳ πάντα τυρβάζει κακά.

LIX. Idem, Moral. p. 77. et 619.

Ὅτῳ δ' ἔρωτος δῆγμα παιδικοῦ προσῇ.

Vide Valckenarium ad Phœniſſas, p. 138.

Ibid. p. 84. Ἡ δὲ προκοπὴ τὰς ὑπερβολὰς πρότερον καὶ τὰς ὀξύτητας τῶν παθῶν ἀνίησι,

Πρὸς ἅπερ οἱ μαργῶντες ἐντονώτατοι,

κατὰ τὸν Σοφοκλέα. Tragici verba uſui ſuo accommodavit. At is ſcripſerat non ἅπερ, ſed ὅσπερ, ὥσπερ, ſeu πρὸς ταῦτά γ' οἱ—

LX. Idem libro de Fortuna, p. 98.

Τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ
Ζητῶ· τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην.

Ibid. p. 99. Clemens Protreptico, p. 78.

Βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρώναξ λεὼς,
Οἱ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς
Λίκνοισι προστρέπεσθε.

Vide Lexicon in Χειρώνακτες et Gatakerum, tom. i. p. 493.

LXI. Idem in Confolatione, p. 107.

Σὺ δ' ἄνδρα θνητὸν, εἰ κατέφθιτο, στένεις,
Εἰδὼς τὸ μέλλον οὐδὲν εἰ κέρδος φέρει.

LXII. Idem in Conjugial. præcept. p. 141. Ταῖς Λυσάνδρου θυγατράσιν ὁ τύραννος ὁ Σικελικὸς ἱμάτια καὶ πλόκια τῶν πολυτελῶν ἔπεμψεν· ὁ δὲ Λύσανδρος οὐκ ἔλαβεν, εἰπών· Ταῦτα τὰ κόσμια καταισχυνεῖ μου μᾶλλον ἢ κοσμήσει τὰς θυγατέρας· πρότερος δὲ Λυσάνδρου Σοφοκλῆς τοῦτο εἶπεν·

Οὐ κόσμος, οὐκ, ὦ τλῆμον, ἀλλ' ἀκοσμία
Φαίνοιτ' ἂν εἶναι, σῶν τε μαργότης φρενῶν.

LXIII. Idem in Quæft. Rom. p. 280. Διὰ κόρον καὶ πλησμονὴν ἐξυβρίζουσι καὶ βόες καὶ ἵπποι καὶ ὄνοι καὶ ἄνθρωποι, ὥς που καὶ Σοφοκλῆς πεποίηκε·

Σὺ δὲ σφαδάζεις, πῶλος ὡς εὐφορβία.
Γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης—.

LXIV. Idem de EI apud Delphos, p. 394.

Οὐ νάβλα κωκύτοισιν, οὐ λύρα, φίλα.

LXV. Idem de Orac. def. p. 414.—Πολλὰ καλὰ τοῦ θεοῦ διδόντος ἀνθρώποις, ἀθάνατον δὲ μηδέν· ὥστε θνήσκειν καὶ τὰ θεῶν, θεὸς δὲ οὔ, κατὰ τὸν Σοφοκλέα. Senario non admodum eleganti fententiam concluferunt:

Θνήσκει δὲ καὶ τὰ τῶν θεῶν, θεοὶ δ' ἄρ' οὔ.

Verbis fuis Tragici fententiam expreffit Plutarchus, fed ad verfus non refpexit, quos a Philoftrato confervatos fuiffe credidit Gatakerus, non recordatus fe eos legiffe in Œdipo ad Colonum, 635. Eft horum fententia prorfus diverfa.

Ibid. p. 417.

Ὁ μὸς δ' ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην.

Grotius aliter ac Plutarchus accepit, legendo αὑτὸν, et vertit:

Meus
Se fponte pullus ad molam falfam tulit.

LXVI. Idem de Ira cohib. p. 458. Καὶ τὸν Νεοπτόλεμον ὁ Σοφοκλῆς καὶ τὸν Εὐρύπυλον ὁπλίσας, Ἐκόμπασ' ἀλοιδόρητα, φησὶν,

Ἐῤῥηξάτην ἐς κύκλα χαλκέων ὅπλων.

Ibid. p. 463. Ὁ δὲ Σοφοκλῆς λέγων ὅτι

Τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν,

ἄγαν ἔοικεν ἡμῖν ἐπεμβαίνειν καὶ κολούειν. Eumdem ſenarium laudat rurſus in libro de fraterno amore, p. 481.

LXVII. Idem de Animi tranquill. p. 468. Ὥσπερ οἱ Σοφοκλέους ἰατροὶ

Πικρῷ πικρὰν κλύζουσι φαρμάκῳ χολήν.

Sic prolatus ſenarius in præcedenti tractatu, p. 463. tacito auctoris nomine: at in libro de Facie in orbe lunæ, p. 923. ſic legitur, et quidem, meo judicio, rectius:

Πικρὰν πικροῖς κλύζουσι φαρμάκοις χολήν.

LXVIII. Idem de Garrulitate, p. 504. Ὁ μὲν γὰρ Σοφοκλέους Νέστωρ τὸν Αἴαντα τραχυνόμενον τῷ λόγῳ πραΰνων, ἠθικῶς τοῦτο εἴρηκεν·

Οὐ μέμφομαί σε· δρῶν γὰρ εὖ κακῶς λέγεις.

Idem ſenarius rurſus occurrit p. 810. Non aliunde traductus videtur, quam e Syndipnis.

Ibidem, p. 511. Πρῶτον μὲν οὖν ἐν ταῖς τῶν πέλας ἐρωτήσεσιν, σαυτὸν ἔθιζε σιωπᾶν, μέχρις οὗ πάντες ἀπείπωνται τὴν ἀπόκρισιν.

Οὐ γάρ τι βουλῆς ταὐτὸ καὶ δρόμου τέλος.

ὥς φησιν ὁ Σοφοκλῆς.

LXIX. Idem de Vitioſo pudore, p. 530. Κακὴ δὲ (ἡ δυσωπία) θαλάμου καὶ γυναικωνίτιδος ἐπίτροπος· ὥς φησιν ἡ παρὰ τῷ Σοφοκλεῖ μετανοοῦσα πρὸς τὸν μοιχόν·

Ἔπεισας, ἐξέθωψας.

LXX. Idem, Sympoſ. i. problem. 8.

Βραδεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ
Μόλις δι' ὠτὸς ἔρχεται τρυπωμένου,
Πόῤῥω δὲ λεύσσων, ἐγγύθεν δὲ πᾶς τυφλός.

Ibid. ii. problem. 5. Καὶ Σοφοκλῆς εἴρηκέ που περὶ τῶν Τρώων, ὡς

Φίλιπποι καὶ κερουλκοὶ,
Σὺν σάκει δὲ
Κωδωνοκρότῳ παλαισταί.

Ibid. viii. problem. 9. Τοῦ Σοφοκλέους ἐπὶ τῶν, ὅτι μὴ πρότερον ἦν, ἀπιστουμένων εἰ γέγονε νῦν, οὐ φαύλως εἰπόντος·

Ἅπαντα ταγέννητα πρῶτον ἦλθ' ἅπαξ.

Sic ſenarium ſcribendum eſſe oſtendit Valckenarius Diatr. Eurip. p. 222. Prava eſt Grotii conjectura, unde nata verſio a Sophoclis et Plutarchi ſententia prorſus aliena:

Quidquid ſit uſquam, cœpit aliquando id ſemel.

Ibid. ix. problem. 14. Ὁ Σοφοκλέους Ὀδυσσεὺς φησὶ Σειρῆνας εἰσαφικέσθαι Φόρκου κόρας ἀθρεῦντος τοὺς Ἅδου νόμους. Sumta hæc ex Ulyssis sermone in dramate, ut opinor, Ὀδυσσεῖ ἀκανθοπλῆγι. Operam luderet, qui ex his verbis integros senarios concinnare vellet. Perspicue nihil video, nisi prioris finem:

Σειρῆνας εἰσαφικόμην.

LXXI. Idem in Amatorio, p. 758. Ἐνθουσιασμοῦ δὲ τὸ μαντικὸν ἐξ Ἀπόλλωνος ἐπιπνοίας καὶ κατοχῆς· τὸ δὲ βακχεῖον ἐκ Διονύσου,

Κἀπὶ Κορυβάντεσσι χορεύσατε,

φησὶ Σοφοκλῆς.

Ibid. p. 768.

ΕΠΙΚΡΟΥΜΑ, ἐπίπληγμα, ἢ ἐπιχάραγμα· διὰ τὸ παρωνομάσθαι τῷ Ἄργῳ. Ἐπίκρυμα χθονὸς Ἀργείας. Σοφ. Ἰνάχῳ. *Hesychius* emendatus a Jo. Toup, Epist. Crit. p. 177. Senarii finis erat:

Ἐπικρούματ' Ἀργείας χθονός.

ΕΠΙΜΑΣΣΕΤΑΙ, ἐπαύξεται ἐπὶ πλέον· ἀπὸ τῦ μάσσονος, ὅ ἐϛι μακροτέρυ· οἱ δὲ, ἐφάψεται, ψηλαφήσει, ἢ οἷον ὖ λιμώσσει, ἀλλὰ καὶ προσεπιμάσσεται πλείω. Σοφ. Αἰχμαλωτίσιν. *Hesych.*

ΕΠΙΞΕΝΟΥΣΘΑΙ—πορεύεσθαι. Σοφ. Ἀχαιῶν Συλλόγῳ, ϗ Αἰσχύλος Κρήσσαις. *Idem.*

Τὰ κατὰ τὴν οἰκίαν σκεύη ΕΠΙΠΛΑ λέγυσι, τὴν οἷον ἐπιπόλαιον κlῆσιν, καὶ μετακομίζεσθαι δυναμένην. Σοφ. Ἀθάμαντι. *Harpocration* in Ἔπιπλον.

ΕΠΙΣΕΙΟΥΣΗΣ, ἐπικελευομένης· ἀπὸ τῶν τὰς ἡνίας ἐπιχαλώντων. Σοφ. Ἀχαιῶν Συλλόγῳ. *Hesych.*

ΕΠΙΣΙΓΜΑΤΑ, ἐπικελεύσματα. Σοφ. Ἀθάμαντι· ἐπαλαλάγματα. *Hesych.* a Ruhnkenio emendatus. Vide Valckenarium ad Sel. Theocriti Idyllia, p. 98.

ΕΠΙΣΠΑΣΕΙ, ἐπιτεύξεται. Σοφ. Ἀτρεῖ ἢ Μυκήναις· ἐπὶ τῶν τοῖς λίνοις λαμβανόντων. *Hesych.* a Casaubono emendatus.

Τοὺς βραβευτὰς, καὶ ἐπιστάτας ὠνόμαζον· ὅθεν καὶ τὸ βραβεύειν, ΕΠΙΣΤΑΤΕΙΝ Σοφοκλῆς. *Pollux*, iii. 145.

ΕΠΙΣΤΩ, γίνωσκε. Σοφ. *Suidas.* Ex Œd. Tyr. 672. Trachin. 185. Philoct. 1363. Electr. 618.

ΕΠΙΤΙΜΗΤΗΣ. τῇ λέξει κέχρηται Σοφοκλῆς, εἰπὼν ἐν τῇ Πρόκριδι·

Κολασταὶ, κἀπιτιμηταὶ κακῶν.

Pollux, ix. 140.

ΕΠΙΤΙΜΙΑ, τὰ ἐπὶ τιμῇ τινος γινόμενα. Σοφ. *Suidas* ex Electr. 921.

ΕΠΩΜΟΤΟΝ, τοῦ ὅρκου ἐγγυητήν. Σοφ. *Suidas* e Trachin. 1204.

ΕΡΓΟΙΣ παθὼν, ῥήμασιν ἀμύνεται. Σοφ. *Phrynichi Appar. sophist.* Proverbialem locutionem duxit ex Œd. Col. 924. Confer *Suidam* in ἀμυνόμενοι.

ΕΡΗΝΟΒΟΣΚΟΣ, ὁ προβατοβοσκός· ἐν Τυροῖ δευτέρᾳ Σοφ. *Etymol. M.* Ἀρηνοβοσκὸς, προβατοβοσκός. Σοφ. Τυροῖ. Καὶ γράφεται δὲ Ἐῤῥηνοβοσκὸς διά τε τοῦ ε καὶ τῶν δύο ρ. *Hesych.* Ἐῤῥηνοβοσκὸς, ὁ προβατοβοσκὸς ἐν Τυροῖ β Σοφοκλέους· ἴσως ἀπὸ τοῦ ἄρην. *Photii Lexicon MS.*

ΕΡΚΕΣΙ, δικτύοις. Σοφ. Ἀθάμαντι δευτέρῳ. *Hesych.*

ΕΡΚΗ, ὅπλα. Σοφ. Τρωΐλῳ. *Idem.*

ΕΣΣΦΘΗΝ, ἐσεβάσθην, ἠσίχασα, ἠσχύνθην. Σοφ. Δαιδάλῳ. *Hesych.* Ἐσέφθην, τὸ ἐσεβάσθην. Σοφ. *Photii Lexicon MS.*

ΕΣ ΤΕ, σημαίνει τὸ ἕως ἄν. Σοφ. (Aj. 1202.) Ἔς τ' ἐγὼ μολὼν τάφου μελήσω· γέγονε δὲ παρὰ τὴν ἐς πρόθεσιν καὶ τόν τε, νῦν παραπληρωματικὸν παρειλημμένον· διὸ καὶ ψιλοῦται Ἀττικῶς· Δωριεῖς δὲ δασύνουσιν, ἀπὸ τοῦ ἕως τε κατὰ συγκοπὴν ἡγούμενοι εἶναι. *Etymol. M.*

ΕΥΕΙΡΟΝ, εὐέριον. *Photii Lex. MS.* e Trachin. 688.

ΕΥΚΑΡΠΟΝ ΚΥΘΕΡΕΙΑΝ καλῶς ὁ Σοφοκλῆς τὴν Ἀφροδίτην προσηγόρευσε. *Plutarchus, Moral.* p. 144.

ΕΥΝΑΙΟΣ, ἐγκεκρυμμένος. Σοφ. Δόλοψιν·

Εὐναῖος εἴη δραπέτιν στέγην ἔχων.

Photii Lex. MS. et *Etymol. M.* Εὐναῖος, λαγώς. Σοφ. Δόλοψι. καταπτηχής. *Hesych.* Vide Jo. Toup addenda ad Theocrit. p. 410.

ΕΥΝΟΥΧΟΙ, οἱ τὴν εὐνὴν ἔχοντες, ὡς γεοῦχοι· εὐνούχες δὲ Σοφοκλῆς καὶ τὲς ὀφθαλμὲς τοὺς εὐνεῖς, καὶ μὴ μετασχόντας ὕπνε, τετέρι τηρῆντας· Οὐχ ὅπε λαμπάδες εὐνούχοισιν ὄμμασιν. *Etymol. MS. Biblioth. Reg.*

ΕΥΟΡΝΙΘΕΙΑΝ. Σοφ. ἐπὶ οἰωνῶν. *Photii Lex. MS.* Εὐορνιθία κατὰ τοὺς παλαιὲς παρὰ Σοφοκλεῖ, τὸ ἀγαθὸν οἰώνισμα. *Eustath.* ad Odyss. Β. p. 83.

ΕΥΣΟΙΑ, εὐσθένεια, σωτηρία. *Hesych.* ex Œd. Col. 403. Εὔσοια, εὐσθένεια· ζῶντά τ' εὐσοίας χάριν. *Suidas.*

ΕΥΣΤΟΜΟΣ ἵππος, καὶ αὐλὸς, καὶ ᾆσμα—καὶ ἀηδόνες παρὰ Σοφοκλεῖ (Œd. Col. 18.) εὐστομεῦσιν. *Pollux,* ii. 100.

Εὐτυχία. Εὕρηται καὶ ΕΥΤΥΧΕΙΑ παρὰ Σοφοκλεῖ. *Etymol. M.* in Θυσία.

ΕΥΩΡΟΣ γάμος. Σοφ. Ἴριδι. ἤτοι ὥριος ἢ ὀλίγωρος· οὕτω γὰρ λέγεσι κατὰ ἀντίφρασιν· ὡς ὁ αὐτὸς ἐν Σκυρίαις χρῆται τῷ ΕΥΩΡΙΑΖΕΙΝ. *Hesych.*

ΕΦΥΜΝΕΙΣ, ἐπᾴδεις. Σοφ. Ἀλωάδαις. *Idem.*

ΕΧΘΙΜΑ, μισήματα. Σοφ. Τηρεῖ. *Idem.* Vide Piersonum ad Herodianum, p. 436.

ΕΧΡΩΜΑΤΙΣΘΗ, συνεχρώσθη. Σοφ. Ἀθάμαντι. *Idem.*

ΕΨΙΑ—ὁμιλία. Σοφ. Ἀθάμαντι δευτέρῳ. *Idem.*

ΖΑΜΕΝΗΣ, ὀργίλος, καὶ λοίδορος, καὶ βίαιος. Σοφ. *Suidas* ex Aj. 137.

ΖΕΥΓΗΛΑΤΗΣ. Σοφ. Τριπτολέμῳ. *Lex. MS. Sangerm.*

ΖΕΥΓΟΣ ΤΡΙΠΑΡΘΕΝΟΝ. Εὐριπίδης Ἐρεχθεῖ, καὶ Σοφ. Σισύφῳ· καταχρηστικῶς ἐπὶ τῶν τριῶν τὸ ζεῦγος ἔθηκε· παραδίδοται δὲ, ὅτι καὶ τριζύγοις ἅρμασι τινὲς ἐχρήσαντο. *Hesych.*

ΖΕΥΞΙΛΕΩΣ, ζευκτὸς λαός· ἢ ᾧ ὑπεζευγμένοι εἰσὶ λαοί. Σοφ. Ἀνδρομέδᾳ. *Hesych.* Ζευξίλεως, ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί. *Photii Lex. MS.*

ΖΗ, ἀντὶ τὲ ζῆθι. Εὐριπίδης Ἰφιγενείᾳ ἐν Ταύροις (705.)

Ἀλλ' ἕρπε, καὶ ζῆ, καὶ δόμες οἴκει πατρός.

Σοφ. Δανάῃ·

Ζῆ, πῖνε, φέρβε.

Lex. MS. Sangerm. Vide Biblioth. Coislin. p. 482. In Sophoclis fragmento pro φέρβε, malit quis forte τέρπε. Ὡς καὶ ἀπὸ τὲ δρῶ, τὸ δρᾶ, ἀντὶ τοῦ πρᾶττε, καὶ ἀπὸ τὲ ζῶ, τὸ ζῆ, προστακτικῶς καὶ αὐτὸ παρὰ Σοφοκλεῖ ἐν τῷ, Πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέ-

γα, καὶ ζῆ· ἐξ οὗ δηλαδὴ τὸ ζῆθι γίνεται. *Euftath.* ad Odyff. Θ. p. 322. Confer Schol. ad Antig. 1183.

ΖΗΛΩ, μακαρίζω. Σοφ. Φιλοκτήτῃ ἐν Τροίᾳ. *Hefych.*

ΖΗΜΙΑΝ ΛΑΒΕΙΝ, ἀντὶ τοῦ ζημιωθῆναι· οὕτως Σοφ. *Photii Lex. MS.*

ΖΥΓΑΣΤΡΟΝ, τὸ κιβώτιον, ὥς φησι Σοφ. (Trachin. 705.) Κοίλῳ ζυγάστρῳ· κυρίως ἡ ξυλίνη σορός. *Etymol. M.*

ΖΩΜΑ, ἡ ζώνη· ὃ ζῶσμα. Σοφ. ἐν Ἠλέκτρᾳ. (454.) *Thomas Mag.*

ΖΩΣΑΣ, ἐναργεστέρας, οὐκ ἀπολλυμένας. Σοφ. (Οἰδ. Τ. 45.) ΟΡΩ ΖΩΣΑΣ, ἀντὶ τοῦ, οὐ σφάλλονται, ἀλλὰ τοῦ ἀποβησομένου στοχάζονται καλῶς. *Suidas.*

Η pro ΗΝ. Τὸ δὲ μονοσύλλαβον ἦ οὐχ εὑρίσκομεν παρ' Ὁμήρῳ κατὰ τῆς δυνάμεως ταύτης, ἀλλὰ κατὰ τῆς ἑτέρας μόνον. (fcilicet pro ἔφη) τῶν δὲ Ἀττικῶν ἐστι παρὰ Κρατίνῳ ἐν Πυτίνῃ·

Γυνὴ δ' ἐκείνου πρότερον ἦ, νῦν δ' οὐκ ἔτι.

καὶ παρὰ Σοφοκλεῖ ἐν τῇ Νιόβῃ·

Ἦ γὰρ φίλη 'γὼ τῶνδε τοῦ προφερτέρου.

καὶ ἐν Οἰδίποδι Τυρ. (1143.)

Ἦ δοῦλος οὐκ ὠνητὸς, ἀλλ' οἰκοτραφής.

Porphyrii Scholia MS. in Homerum ad Ἰλ. Ε. 533. ἦ pro ἦν apud Comicum fæpius occurrit.

ΗΓΟΜΗΝ, διῆγον. Σοφ. Θυέστῃ δευτέρῳ. *Hefych.*

ΗΓΡΙΩΣΑΙ, ἀντὶ τοῦ ἐσκλήρυνσαι. Σοφ. *Suidas* e Philoct. 1359.

ΗΚΡΩΤΗΡΙΑΣΜΕΝΟΙ τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, ἀντὶ τοῦ λελυμασμένοι· οἱ γὰρ λυμαινόμενοί τινας, εἰώθασι περικόπτειν αὐτῶν τὰ ἄκρα, ὡς καὶ Σοφοκλῆς Πολυξένῃ· τὸ μέν τοι ἠκρωτηριασμένοι, ἀντὶ τοῦ ἐνεργητικοῦ κεῖται τοῦ ἠκρωτηριακότες. *Harpocrat.*

ΗΜΑΛΔΥΨΑΙ, κρύψαι, ἀφανίσαι. Σοφ. Ὀδυσσεῖ μαινομένῳ. *Hefych.*

ΗΜΙΚΑΚΟΝ Εὐκλείδης λέγει, καὶ Σοφοκλῆς. Ἀριστοφάνης δὲ καὶ ἡμικάκως. (Thefmoph. 456.) *Pollux,* vi. 161. Ridiculus eft Phrynichus vocem adeo claffícis fcriptoribus adhibitam damnans.

ΗΝΕΓΚΟΝ, ἐπὶ πρώτου προσώπου. Σοφ. Τυροῖ. Ἀριστοφάνης Θεσμοφοριαζούσαις (742.) *Lex. MS. Sangerm.* Œd. Col. 537.

ΗΡΑΚΛΕΙΑ ΛΙΘΟΣ—κέκληται δὲ οὕτως ἀπὸ Ἡρακλείας τῆς ἐν Λυδίᾳ πόλεως· διὸ καὶ Σοφοκλῆς Λυδίαν λίθον αὐτὴν καλεῖ. *Hefych.* Bacchylides:

Λυδία μὲν γὰρ λίθος
Μανύει χρυσόν.

ΗΣ, terminatio accufativi pluralis. ἡ αἰτιατικὴ εἰς ΕΑΣ συνεσταλμέ-

ιως καὶ ΕΙΣ κατὰ κρᾶσιν, καὶ εἰς ΗΑΣ καὶ ΗΣ, ὡς παρὰ Σοφοκλεῖ. (Aj. 390.) Τούς τε δισάρχας ὀλέσας βασιλῆς. *Draco Stratonicensis* περὶ μέτρων. Verius, opinor, Gregorius de Dialectis: Τὰς ἀπὸ τῶν εἰς ΕΥΣ εἰς ΕΙΣ πληθυντικὰς εὐθείας, διὰ τοῦ Η γράφουσιν, ἱππῆς, βασιλῆς, Πλαταιῆς. Vide notam ad Ajacis versum supra citatum.

ΗΣΜΕΝ, ἀντὶ τοῦ ᾔδειμεν· καὶ ᾖστε, ἀντὶ τοῦ ᾔδειτε. Σοφ. Κόλχοις·

Ὑμεῖς μὲν οὐκ ἄρ᾽ ᾖστε τὸν Προμηθέα.

Etymol. M. in Ἦσμεν.

ΘΑΙΡΟΣ, ὁ διήκων ἀπὸ τοῦ ἄνω μέρους ἕως κάτω στροφεὺς τῆς θύρας, ἢ ἄξων. Σοφ. Τριπτολέμῳ. *Hesych.* Ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ὅτι θαιρὸς, ὁ ἄξων παρὰ Σοφοκλεῖ. *Eustath.* ad Iliad. M. p. 878. Vide supra in Ἀμφιπλίξ.

ΘΕΑΝΗ νῆσος· ἡ ἐκ θεοῦ θεῖα. Σοφοκλῆς Τυροῖ. *Hesych.*

ΘΕΗΛΑΤΟΣ, ὑπὸ θεῶν πεμφθείς. *Photii Lex. MS.* Pertinet ad Œd. Tyr. 263.

ΘΗΛΑΣΤΡΙΑ, τροφός· ἔστι δὲ Ἰακόν. Σοφ. Ἀλεξάνδρῳ. *Hesych.*

ΘΗΛΕΙΑ, ἐκ τοῦ θῆλυς· ἢ παρὰ τὸ θάλλειν καὶ γεννᾷν· ὅθεν καὶ ἡ ὑπομβρος νὺξ παρὰ Σοφοκλεῖ θήλεια καλεῖται. *Etymol. M.*

ΘΗΜΑ, θήκη, τάφος, ἀνάθημα. Σοφ. Σαλμωνεῖ. *Hesych.*

ΘΡΕΚΤΟΙΣΙ νόμοις· ἀντὶ τοῦ τραχέσι. Σοφ. Ὀδυσσεῖ μαινομένῳ· ἔνιοι δὲ, κρεκτοῖς. *Idem.*

ΘΡΗΝΕΙΝ ἐπῳδάς· ἐπιφωνεῖν καὶ ἐπάδειν. Σοφ. Αἴαντι (583.) τουτέστιν, οὐκ ἔστιν ἰατροῦ σοφοῦ ἴδιον ἐπῳδαῖς χρῆσθαι, τοῦ τραύματος ἤδη τομῆς δεομένου· καὶ ἐν Ποιμέσι·

Λόγῳ γὰρ οὐδὲν ἕλκος οἶδά πω χανόν.

Suidas. Grotius vertit:

Ego voce factum vulnus haud ullum scio.

ΘΡΙΑΖΕΙΝ, φυλλολογεῖν, ἐνθουσιᾷν, ἐνθουσιάζειν. Σοφ. Ὀδυσσεῖ μαινομένῳ. *Hesych.*

ΘΩΧΘΕΙΣ, θωρηχθεὶς, μεθυσθείς. Σοφ. Διονυσιακῷ. *Idem.* Non est dramatis titulus Διονυσιακός. Scribendum forte ἐν Διονυσιακῷ τινι Σατυρικῷ, vel δράματι, ut supra in Ἄλυπον.

ΙΑΝΝΑ· ἐν μὲν Αἰχμαλωτίσι Σοφοκλέους ἀπέδοσαν Ἑλληνική· ἐπεὶ Ἴαννας τοὺς Ἕλληνας λέγουσιν· ἐν δὲ Τριπτολέμῳ, ἐπὶ γυναικὸς, ὡς καὶ ἐν Ποιμέσι· τινὲς δὲ, τὴν Ἑλένην· ἐπιεικῶς δὲ οἱ βάρβαροι τοὺς Ἕλληνας Ἴωνας λέγουσιν· ἐν δὲ Τρωΐλῳ βάρβαρον θρήνημα τὸ ΙΑΙ· ἢ ὄνομα γυναικός. *Idem.*

"Ιδρις—ἄϊδρις· ἡ γενικὴ αἴδρεως, ὡς ὄφις ὄφεως· καὶ αἴδρεϊ καὶ αἴδρει· ὃ γὰρ δεῖ διὰ τοῦ δ.—ὥστε ἁμάρτημα τὸ παρὰ Σοφοκλεῖ ΙΔΡΙΔΑ. *Etymol. M.* in ἄϊδροι. Confer Euſtathium ad Iliad. Γ. p. 309.

ΙΕΡΟΛΑΣ, ἱερεύς. Σοφ. Αἰχμαλώτοις· ὡς καὶ τὸν γέροντα γεροίταν, ἢ γεροντίαν λέγει. *Heſych.* ab Adr. Heringa emendatus.

ΙΗΟΥΣ καμάτους· τοὺς κατὰ τὸν τόκον, ἐν ᾧ ἴασι φωνὰς, διὰ τοὺς πόνους καὶ τὰς ὠδῖνας αἱ τίκτουσαι· τινὲς δὲ, τοὺς θρηνητικοὺς πόνους, ἀπὸ τοῦ ἰαλέμου. Σοφ. Οἰδίποδι Τυρ. *Idem.*

ΙΗΙΟΣ—ἐπὶ δὲ τοῦ θρήνου ψιλοῦται. Σοφ. Οἰδίπ. Τυρ. (182.) Οὔτε γὰρ ἔκγονα κλυτᾶς χθονὸς αὔξεται, οὔτε τόκοισιν ἰήιων καμάτων· τῶν θρηνητικῶν. *Orionis Thebani Etymol. MS.* Confer vulgatum Etymol. in Ἰάλεμος.

ΙΗΙΟΣ—ἀλλὰ καὶ θρῆνον σημαίνει, ὡς Σοφ. Τρωΐλῳ. *Heſych.*

ΙΚΤΙΝΑ—καὶ ἡ ὀρθὴ, ὁ ἴκτινος. Σοφ. Ἴκτινος ἔκραξε παρασύρας κρέας. *Lex. MS. Bibl. Reg.*

ΙΚΤΟΡΕΥΣΟΜΕΝ, ἱκετεύσομεν. Σοφ. Αἰχμαλωτίσι. *Heſych.*

ΙΛΛΑΔΑΣ, γονὰς ἀγελαίας, καὶ τὰς συστροφάς. Σοφ. Ἀκρισίῳ. *Idem.*

ΙΛΛΥΡΙΣ ΓΟΝΗ, ἀντὶ τοῦ Ἰλλυρὶς γενεά· γράφεται δὲ καὶ γυνή· ὁ δὲ Καλλίστρατος, γίη, ἀντὶ τοῦ γῆ· χρῶνται γὰρ οὕτως. Σοφ. Τριπτολέμῳ. *Idem.*

ΙΞΟΦΟΡΟΥΣ δρύας· τὰς ἰξὸν φερούσας. Σοφ. Μελεάγρῳ. *Idem.*

ΙΠΠΟΒΟΥΚΟΛΟΙ. Σοφ. *Pollux,* vii. 185.

ΙΠΠΟΜΑΝΗΣ. Σοφ. Αἴαντι. (143.) Σὲ τὸν ἱππομανῆ· ἤτοι πολεμικὸν καὶ ἵπποις ἐπιμαινόμενον· ἢ τὸν μέγαν καὶ ἄνετον· εἴωθε γὰρ ἡ προσθήκη τῶν τοιούτων ζώων, τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν, ὡς θυμὸν ἱππογνώμονα, τὸν μεγάλης γνώμης· καὶ βοῦπαις· ἱππομανής ἐστι καὶ ἐπὶ τοῦ λειμῶνος, ἤτοι ὅπου ἵπποι μαίνονται· ἢ τὸν εὐανθῆ, ἐν ᾧ εὐανθὴς βοτάνη, ὥστε μαίνεσθαι τοὺς ἵππους διὰ τὸν καιρὸν ἐπ' αὐτῆς τῆς χλόης τοῦ λειμῶνος· τὴν μεγάλως μεμηνυῖαν· καὶ τὸν ἀνθοῦντα τῇ χλόῃ· ἐπεὶ καὶ φυλλομανής. *Etymol. M.*

Τὸ δὲ ΙΣΟΘΑΝΑΤΟΝ Σοφοκλέους εἰπόντος ἐν Κρεούσῃ, οὐ πάνυ ἀνεκτόν. *Pollux,* vi. 174.

ΚΑΘΑΓΙΖΩ, συντελέσω, καὶ καθιερώσω· παρὰ δὲ Σοφοκλεῖ ἐκ τῶν ἐναντίων, ἐπὶ τοῦ μιαίνειν τέτακται. *Heſych.* Pertinet ad Antig. 1093. Priori ſignificatione occurrit apud Comicum, Av. 567. Lyſiſtrat. 238.

ΚΑΘΕΛΩΝ, Δημοσθένης ἀντὶ τοῦ ἀνελὼν, ἤτοι ἀποκτείνας· καὶ Στησίχορος καὶ Σοφοκλῆς. *Photii Lex. MS.* Vide infra in Ὁδός.

ΚΑΝΝΑΒΙΣ. Σοφ. Θαμύρα. Ἡρόδοτος δ'. *Lex. MS. Sangerm.*

ΚΑΡΙΚΟΙ τράγοι, ὡς εὐτελῶν ὄντων. Σοφ. Σαλμωνεῖ· εἰ μὴ ἄρα ὑποσυγχέων, τὰς Κιλικίας. *Hesych.*

Κάρυα—τὸ δὲ δένδρον ΚΑΡΥΑ παρὰ Σοφοκλεῖ· Καρύαι μηλέαι τε. *Athenæus*, p. 52.

ΚΑΡΠΟΜΑΝΗΣ, εἰς κόρον ἐξυβρίζουσα. Σοφ. Περιλάῳ. *Hesych.*

ΚΑΤΑΓΝΩΝΑΙ, ἐπιγνῶναι, μέμψασθαι. Σοφ. Ἀθάμαντι προτέρῳ. *Idem.*

ΚΑΤΑΙΝΕΣΑΝΤΟΣ, συγκαταθεμένου. Σοφ. *Suidas* ex Œd. Col. 1704.

ΚΑΤΑΡΒΥΛΟΙΣ, χλαίναις ποδήρεσιν, ὥστε καὶ ἐπὶ τὰς ἀρβύλας χαλᾶσθαι. Σοφ. Τρωΐλῳ. ΚΑΤΑΡΒΥΛΟΣ, χλαῖνις ποδήρης ἕως τῶν ἀρβυλῶν. *Hesych.*

ΚΑΤΑΡΡΑΚΤΗΣ, ὀχετὸς, ῥύαξ· καὶ ὁ ἀετός. Σοφ. Λαοκόωντι· καὶ τὰς Ἁρπυίας ἐν Φινεῖ. *Idem.*

ΚΑΤΕΥΧΕΣΘΑΙ τῶν Ἀχαιῶν, ἀντὶ τοῦ κατὰ τῶν Ἀχαιῶν εὔχεσθαι· οὕτως Σοφοκλῆς. *Photii Lex. MS.*

ΚΑΤΕΦΡΟΝΕΕ, κατενόει· φρονεῖν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ νοεῖν· μέμνηται καὶ Σοφ. ἐν Ἀχαιάδῃ καὶ ἐν Ἀμφιαράῳ. *Erotiani Lex. Hippocr.* Corruptus est prioris fabulæ titulus. Conjici possit ἐν Ἀχαιῶν Συλλόγῳ, ἐν Ἀλωάδαις.

ΚΑΤΗΝΑΡΙΣΜΕΝΑ, ἀπολωλότα, ἐκδεδαρμένα, ἐσκυλευμένα. Σοφ. Αἴαντι μαστιγ. (26.) *Hesych.*

ΚΑΤΟΥΛΑΔΑ. Σοφ. Ναυπλίῳ·

Ἐπεύχομαι δὲ νυκτὶ τῇ κατουλάδι.

τὴν κατίλλουσαν καὶ κατείργουσαν· καὶ ἐξούλης δίκη, ἡ ἐξείρξεως· οἱ δὲ, τῇ πανολέθρῳ ἐσομένῃ τοῖς Ἕλλησιν· οὖλον γὰρ, τὸ ὀλέθριον· καὶ ἡ κατὰ πρόθεσις αὔξησιν ἔχει· ἢ ζοφώδη, ἀπὸ τῆς κατὰ τὸ σῶμα γινομένης οὐλῆς· μελάντεροι γάρ· ἢ καταιγίδας ἐχούσαν καὶ συστροφὰς ἀνέμων· εἴλλειν γὰρ, τὸ συστρέφειν. *Photii Lex. MS.* unde eximiam hanc glossam protulit Kusterus ad Suidam, t. ii. p. 281. Ejusmodi noctem pulchris versibus describit Argonauticorum poeta, iv. 1695.

Νὺξ ἐφόβει, τήνπερ τε κατουλάδα κικλήσκουσι,
Νύκτ' ὀλοήν· οὐκ ἄστρα διίσχανεν, οὐκ ἀμαρυγαὶ
Μήνης· οὐρανόθεν δὲ μέλαν χάος, ἠέ τις ἄλλη
Ὠρώρει σκοτίη μυχάτων ἀνιοῦσα βερέθρων.

ΚΑΥΡΟΣ, κακός· οὕτως Σοφοκλῆς. *Photii Lex. MS.*

ΚΕΚΟΝΑ, παρὰ Σοφοκλεῖ· ἀπὸ τοῦ κτείνω, ἔκτονα, κέκονα. *Etymol. M.*

ΚΕΧΗΛΩΜΑΙ, πόδας δέδεμαι, συνέῤῥαμμαι τὺς πόδας· χηλεύειν γὰρ, τὸ ῥάπ̀ͅειν· καὶ χηλινὸν, τὸ πλεκτὸν, ὁ Ἀνακρέων· καὶ χήλωμα, τὸ σπαρτίον, Σοφ. Πανδώρᾳ, ἢ Σφυροκόποις. *Hesych.*

ΚΗΡΥΚΕΙΟΝ. ἔςι προσηγορικὸν, καὶ σημαίνει πᾶσαν ῥάβδον κήρυκος· ἔςι καὶ κτητικὸν, σημαῖνον τὸ τῦ κήρυκος, ὡς παρὰ Σοφοκλεῖ, Γράμμα κηρύκειον. *Etymol. M.*

Κιμμερίυς φησὶν Ἡρακλείδης ὁ Ποντικὸς ὑποκάτω τῦ Πόντυ εἶναι· γράφεται ϗ ΚΕΡΒΕΡΙΩΝ· καὶ ἔοικε καὶ Σοφοκλῆς περιπεπτωκέναι τῇ τοιαύτῃ γραφῇ· ὁμοίως καὶ Ἀριςοφάνης ἐν Βατράχοις. (187.) *Idem.*

ΚΙΝΑΔΟΣ, ἐπὶ τοῦ θηρίυ—καὶ ἡ λοιδορία οἰκείως ἂν ἔχοι ἐπὶ τῶν πολυκινήτων—καὶ τῷ κινάδει Σοφοκλῆς. *Idem.* Spectat ad Aj. 103.

ΚΙΝΑΚΗ, ὁ ἀκινάκης παρὰ Σοφοκλεῖ. *Idem.*

Κινάρα· ταύτην Σοφοκλῆς ἐν Κολχίσι ΚΥΝΑΡΑΝ καλεῖ· ἐν δὲ Φοίνικι, ΚΥΝΑΡΟΝ·

Κύναρος ἄκανθα πάντα πληθύει γύην.

Athenæus, p. 70. Ἀπὸ κυνὸς λέγεται συντεθεῖσθαι παρὰ Σοφοκλεῖ καὶ ἡ ΚΥΝΑΡΟΣ ἄκανθα, ἡ καὶ κυνάρα,—ἣν ἡ κοινὴ γλῶσσα κυνόσβατον—ὀνομάζειν οἶδεν. *Eustath.* ad Odyss. P. p. 663.

ΚΝΩΔΟΝΤΟΣ, τῆς ἀκμῆς τῦ ξίφυς, τῆς ὀξείας εἰς τὸ καίνειν· ἀπὸ δὲ τῦ μέρυς τὸ ὅλον ξίφος δηλοῖ. Σοφ. *Suidas.* ex Aj. 1044.

ΚΟΙΝΟΣ—ἀδελφός. Σοφ. Ἀντιγόνῃ·

Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα.

καὶ ἐν Ὑδροφόροις· Πολύκοινον Ἀμφιτρίτην. *Hesych.*

ΚΟΚΚΟΒΟΑΣ ὄρνις, ὁ ἀλεκτρυὼν, παρὰ Σοφοκλεῖ. *Eustath.* ad Odyss. Δ. p. 145.

ΚΡΑΝΑΑ πόλις· τοῦτο τέτριπ̀ͅαι ὑπὸ τῶν παλαιῶν· καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει. *Schol. Comici ad Acharn.* 75. Κραναὴν πόλιν, τὰς Ἀθήνας, ἀπὸ Κραναῦ. *Hesych.*

ΚΡΟΤΗΜΑ, ἐπὶ τῶν δολίων τάσσεται. *Idem.* Κεκροτημένοι· ἀντὶ τοῦ ἐῤῥαπισμένοι· ἐθάδες πανούργων ἔργων· ἡ δὲ μεταφορὰ ἀπὸ τῦ κεκροτημένυ χαλκῦ· καὶ Σοφ.

Τὸ πάνσοφον κρότημα, Λαέρτυ γόνος.

Theocr. Schol. Vide Valckenarium ad Sel. Idyll. p. 357.

ΚΤΩΜΗΝ, σὺν τῷ ι. Σοφ. ἀντὶ τοῦ κταοίμην. *Etymol. M.* Pertinet ad Trachin. 194. Sic Œd. Col. 833. ζῷμεν.

ΚΥΑΜΩ ΠΑΤΡΙΩ. Σοφ. Μελεάγρῳ· ὡς καὶ τῶν Αἰτωλῶν τὰς ἀρχὰς κυαμευόντων· διεκλήρυν δὲ αὐτὰς κυάμῳ, καὶ ὁ τὸν λευκὸν λαβὼν, ἐλάγχανεν· ἀνάγει δὲ τὺς χρόνυς, ὡς καὶ ἐν Ἰνάχῳ, Κυαμόβολον δικαςήν. *Hesych.* Vide Toupii Epist. Crit. p. 54.

Ἔςι ΚΥΔΟΣ ἀρσενικῶς, καὶ σημαίνει παρὰ Συρακουσίοις τὴν λοιδορίαν· ἀπὸ γοῦν τοῦ κύδ⊛, ΚΥΔΑΖΩ. Κυδάζεται τοῖς πᾶσιν Ἀργείοις· ἀντὶ τοῦ λοιδορεῖται. Σοφ. Αἴαντι. (733.) *Etymol. M.* in Ἐκυδάσσατο.

ΚΥΚΝΙΤΙΣ, ἧς ὁ Κύκνος ἐβασίλευσε. Σοφ. ἐν Πηλεῖ, καὶ ἐν Ποιμέσι, Βοὴν Κυκνῖτιν. *Stephanus.*

ΚΥΛΛΑΙΝΩΝ ΚΑΤΩ. Σοφ. Φαίδρᾳ· τὰ ὦτα καταβαλὼν, ὅπερ οἱ σαίνοντες κύνες ποιοῦσιν·

Ἔσαινεν οὐρᾷ τὦτα κυλλαίνων κάτω.

οἷον τὸ, (Odyſſ. P. 302.)

Οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε, καὶ οὔατα κάββαλεν ἄμφω.

Heſych.

ΚΥΜΒΗ, πλοίου εἶδος. Σοφ. *Photii Lex. MS.*

ΚΥΡΟΣ, ἐπιτευκτικὴ, καὶ κυρία. Σοφ. *Suidas* ex Electr. 925.

ΚΩΧΕΥΟΥΣΙΝ, ὀχοῦσι, μετεωρίζουσι. Σοφ. Καμικίοις·

Πιςοί γε κωχεύουσιν ἀμφορεῖ δέμας.

Heſych. ex Etymol. Regio MS. emendatus a Ruhnkenio in Auctario.

ΛΑΓΟΣ. τῇ δὲ τὸν λαγὸν ἑνικῇ αἰτιατικῇ ἀκόλουθός ἐςιν ἡ παρὰ Σοφοκλεῖ ἐν Ἀμύκῳ Σατυρικῷ πληθυντικὴ ὀνομαςική·

Γέρανοι, κορῶναι, γλαῦκες, ἴκτινοι, λαγοί.

Athenæus, p. 400. In Lexico MS. Bibliothecæ Reg. ſcriptum ἰκτὶς καὶ λαγοί. Forte verum eſt ἰκτίδες, λαγοί.

ΛΑΙΘΑΡΓΟΣ· δηλοῖ μὲν κύνα· τροπικῶς δὲ σημαίνει καὶ ἐπίβουλον ἄνθρωπον κρύφα βλάπτοντα· καὶ ἔςιν ἐκεῖνος ὡσπερεί φασιν λαθροδήκτης, ἀπὸ κυνῶν. Σοφ.

Σαίνουσα δάκνεις, καὶ κύων λαίθαργος εἶ.

Euſtath. ad Odyſſ. p. 164. Confer Suidam. Vocem λαίθαργ⊛ Plautus in Bacchidibus e Græco tranſlatis, novo, quod ſolens confixit, vocabulo reddidit *clam-mordax,* quod interpretibus non fuit obſervatum, v. ii. 27.

Et, præter eos agnos, meus eſt iſtic clam-mordax canis.

Erat in Græca fabula verſus hujuſce forte non multum abſimilis.

Ὁὑμὸς σὺν αὐτοῖς ἐςι λαίθαργος κύων.

ΛΑΜΠΗΝΗ, εἶδος ἁμάξης, ἐφ' ἧς ὀχοῦνται. *Heſych.* Ἔςι δὲ τοὔνομα ἡ λαμπήνη ἐν τῇ Σοφοκλέους Ναυσικάᾳ. *Pollux,* x. 52.

ΛΑΠΙΖΕΙΝ, παρὰ Σοφοκλεῖ, τὸ συρίζειν· καὶ ΒΑΥΒΑΝ, τὸ κοιμᾶσθαι, οἷον·

ἡ δὲ προὐκαλεῖτό με

Βαυβᾷν μετ' αὐτῆς.

Eustath. ad Odyss. p. 546.

ΛΕΥΓΑΛΕΑ, διάβροχος· οὕτως Σοφοκλῆς. *Photii Lex. MS.* ΛΕΥΓΑΛΕΟΝ, τὸ ὑγρόν. Σοφ. Μύρῳ λευγαλέῳ. *Etymol. M.*

ΛΕΥΚΗΝ ΗΜΕΡΑΝ, τὴν ἀγαθήν. Σοφ. Ἀδάμαντι. *Lex. MS. Sangerm.*

ΛΗΚΥΘΙΣΤΗΣ, ὁ μικρόφωνος· οὕτως Σοφ. *Photii Lex. MS.* Vide Suidam in voce.

ΛΙΒΑΝΟΝ λέγε τὸ δένδρον· τὸ δὲ θυμιώμενον, λιβανωτόν· εἰ καὶ διὰ τὴν ποιητικὴν Λίβανον καὶ τοῦτο Σοφοκλῆς λέγει. *Phrynichus Ecl. nom. Att.*

ΛΙΓΔΟΙ, χοάναι, τύποι, εἰς οὓς κατέρχεται τὸ ἐν τῇ χώνῃ διὰ τῶν κεντημάτων· ἦσαν δὲ πήλινοι. Σοφ. *Hesych.* in Γλίδε χοάναι. Pertinet ad versum e Captivis servatum a Polluce. Fragm. ii.

ΛΙΚΝΟΙΣΙ ΠΡΟΤΡΕΠΕΣΘΑΙ. λίκνα ἱστάντες προσάγεσθαι· ἅ ἐστι κανᾶ, ἐφ' οἷς τὰ λήϊα ἐπετίθετο, ἅπερ εἰσὶ καρποὶ πύρινοι. *Idem.* Pertinet ad fragmentum e Plutarcho et Clemente relatum inter incerta LX.

ΛΙΠΟΨΥΧΕΙΝ. Σοφ. Πηλεῖ. *Lex. MS. Sangerm.*

ΛΙΤΡΑ. ἦν μὲν νόμισμά τι, ὡς Δίφιλος· ἐπὶ δὲ τοῦ σταθμοῦ Ἐπίχαρμός τε καὶ Σώφρων ἐχρήσαντο. Σοφοκλῆς δὲ ΛΙΤΡΟΣΚΟΠΟΝ φησὶ τὸν ἀργυραμοιβὸν, ἀπὸ τοῦ νομίσματος. *Photii Lex. MS.*

ΛΥΚΟΚΤΟΝΟΥ θεοῦ. Σοφ. Ἠλέκτρᾳ. (6.) Ἀρίσταρχος, διὰ τὸ τὸν θεὸν νόμιον εἶναι, καὶ τὴν τῶν βοσκημάτων φυλακὴν ποιούμενον τὸν Ἀπόλλωνα, ἀναιρεῖν τοὺς λύκους· ἔστι γὰρ ὁ λύκος ἱερὸν Ἀπόλλωνος. *Hesych.*

ΛΥΜΕΩΝ, ὁ φθορεύς. Σοφ. *Suidas* ex Aj. 574.

ΜΑΓΑΔΙΣ, ψαλτικὸν ὄργανον· οὕτως Σοφοκλῆς. *Photii Lex. MS.*

ΜΑΓΝΟΝ. Σοφ. Ὀδυσσεῖ τὸν μέγαν, τὸν ἀπομάσσοντα καὶ καθαίροντα. *Idem.*

ΜΑΙΕΥΤΡΙΑΝ, ἀντὶ τοῦ μαῖαν. Σοφ. Ἀλεξάνδρῳ. *Lex. MS. Sangerm.*

ΜΑΡΕΙΝΗ, ἡ μεμαρασμένη ὕλη, καὶ τοὺς ἀνθρακευτάς. Σοφ. *Photii Lex. MS.*

Δίγονος ΜΑΣΘΛΗΣ, διπλοῦς ἱμάς· ἢ ὅτι οὐ μόνον κατὰ τὴν βαφὴν ἦν τοιοῦτος, ἀλλὰ καὶ ἀπὸ τοῦ αἵματος ἐκέχρωστο. Σοφ. Ἀνδρομέδᾳ·

ἰδοῦ δὲ φοίνιον

Μάσθλητα δίγονον.

Etymol. M. ΜΑΣΘΛΗΤΑΣ, ἱμάντας, ἡνίας· καὶ ἡ μάσθλη, ἡνία. Σοφ. Ἀνδρομέδᾳ καὶ Συνδείπνοις. *Hesych.*

ΜΑΣΤΑΚΑΣ, τὰς ἀκρίδας Σοφοκλῆς. *Photii Lex. MS.* Ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηνται καὶ ΜΑΣΤΑΚΕΣ, αἱ ἀκρίδες· καὶ λέγεται κεῖσθαι τοῦτο παρὰ Σοφοκλεῖ ἐν Φινεῖ. *Eustath.* ad Odyss. p. 168.

Ἡ μέλλουσα γαμεῖσθαι, μελλονύμφη· βέλτιον δὲ, ὡς Σοφοκλῆς ὠνόμασε, τῆς ΜΕΛΛΟΓΑΜΟΥ· ταύτην δὲ καὶ ΤΑΛΙΝ καλεῖ. (Antig. 640.) *Pollux,* iii. 45.

ΜΗΛΑ. Σοφοκλῆς, φησὶν ὁ γραμματικὸς Ἀριστοφάνης, δόξειεν ἂν που καὶ τὰ θηρία πάντα μῆλα καλεῖν. *Eustatius* ad Iliad. p. 828. Σοφοκλῆς γοῦν, φασὶ, τὸν Ἀχιλλέα τραφῆναι εἰπὼν ἐν τῷ Πηλίῳ πᾶν μῆλον θηρῶντα, δόξοι ἂν τὰ θηρία πάντα μῆλα καλεῖν. *Idem.* ad Odyss. p. 384.

ΜΗ ΝΟΜΙΣΟΝ, ἀντὶ τοῦ, μὴ νομίσῃς. Σοφ. Πηλεῖ. *Lex. MS. Sangerm.* Sic apud Comicum μὴ ψεῦσον, Thesmoph. 870. ubi vide quæ notavimus.

ΜΗΤΗΡ, ἡ τεκοῦσα—ἡ μαστὸν ἐπισχοῦσα, ὡς Σοφοκλῆς. *Pollux,* iii. 10.

ΜΗΧΑΝΟΡΡΑΦΟΣ, ἐπινοητὴς κακῶν, κατασκευαστὴς· τὰ φαῦλα μηχανώμενος. Σοφ. *Suidas* ex Œd. Tyr. 395.

ΜΙΑΙΝΕΣΘΑΙ καὶ ΕΚΜΙΑΙΝΕΣΘΑΙ, τὸ ἀνασφαίτιειν. Σοφ. *Photii Lex. MS.*

ΜΙΑΝ ΜΙΑΝ, ἀντὶ τοῦ κατὰ μίαν. Σοφ. Ἔριδι. *Lex. MS. Sangerm.* Eadem loquendi forma, qua μᾶλλον μᾶλλον dicunt, quod apud Suidam vide, et ἴσον ἴσον apud Comicum Vespis, 213. Latini *magis magis, minus minus.* Vide Hieron. Columnam ad Ennii fragmenta, p. 99.

ΜΙΝΥΡΕΤΑΙ, ᾄδει, κλαίει, θρηνεῖ, εὐφώνως λέγει. Σοφ. *Suidas* ex Œd. Col. 703.

ΜΝΕΙΑΝ, τὴν μνήμην. Σοφ. Ἀλεξάνδρῳ. *Lex. MS. Sangerm.* Eamdem glossam habent Photius et Suidas, sed absque dramatis indice. Electr. 394.

ΜΟΛΙΒΟΣ καὶ ΜΟΛΥΒΔΟΣ· εἰ μὲν ι ἐστὶν, τὸ δ οὐκ ἔστιν, οἷον·

Καὶ μόλιβος ὥστε δίκτυον

κατῆγε. - - - Σοφοκλῆς· ἐὰν δὲ τὸ υ, τὸ δ. *Etymol. M.* Legitur apud Plutarchum, Moral. p. 75. innominati Tragici versus, qui forte idem est, quem Etymologici auctor laudat, ab alterutro immutatus. Juxta Grammatici canonem senarius apud Plutarchum sic scribi debuit:

Μολιβδὶς ὥστε δίκτυον κατέσπασεν.

ΜΥΝΔΟΣ. μύνδος ἰχθύς, Σοφοκλῆς· ὁ μὴ αὐδῶν· ὅθεν καὶ ἔλλοψ, ἀπὸ

τῦ ἐλλειπῆ τὴν ὄπα ἔχειν. *Etymol. M.* Vide Caſaubonum ad Athenæum, p. 538.

ΜΥΝΗΣ, *nomen proprium.* Τὸ γῦν Μύνης, Ὅμηρος μὲν Μύνητος κλίνει· Σοφοκλῆς δὲ ἰσοσυλλάϐως. *Euſtath.* ad Iliad. 1020.

ΜΩΛΥΣ, ὁ ἀμαθής. Σοφοκλῆς δὲ Φαίδρα, ΜΕΜΩΛΥΣΜΕΝΗ, παρειμένη. *Heſych.* Timon Phliaſius apud Diog. Laërt. vii. 170. Cleanthem, qui erat obtuſi et tardi ingenii, μωλύτην appellat.

ΝΑΡΟΝ, τὸ ὑγρὸν, παρὰ τὸ νῶ ῥῆμα· δηλοῖ τὸ ῥέω· ὁ μέλλων νάσω· γίνεται ναρός· καὶ τὸ ὐδέτερον, ναρόν. Σοφ. Τρωΐλῳ·

Πρὸς ναρὰ δὲ κρηναῖα χωρῦμεν ποτά.

ὕτω Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάϐων ῥημάτων· καὶ ἴσως ἡ συνήθεια τρέψασα τὸ α εἰς ε, λέγει νερόν. *Orionis Thebani Etymol. MS.* Confer vulgatum Etymologicon et Salmaſium ad Hiſt. Auguſtam, p. 311.

ΝΑΥΚΛΗΡΟΝ πλάτην, ναυτικήν. Σοφ. Ναυπλίῳ Πυρκαεῖ. *Heſych.*

ΝΕΝΩΤΑΙ, νενόηται· παρὰ Σοφοκλεῖ Ἑλένης γάμῳ. *Etymol. M.*

ΝΕΥΡΟΣΠΑΔΗΣ ἄτρακτος, παρὰ Σοφοκλεῖ ἐν Φιλοκτήτῃ. (293.) ὃν ἀφίησί τις, τῇ νευρᾷ ἐπισπώμενος αὐτόν. *Suidas.*

ΝΗΛΙΠΟΥΣ, ὁ ἀνυπόδητος. *Idem* ex Œd. Col. 362.

ΝΩΜΩΝ, κρίνων, ἐξετάζων. Σοφ. *Idem* ex Œd. Tyr. 308. ubi gloſſa, ἐρευνῶν, σκοπῶν. Plato in Cratylo citatus a Muſgravio ad Eurip. Phœniſſ. 1290. τὸ νωμᾶν καὶ τὸ σκοπεῖν ταὐτόν.

ΞΑΝΩ, κοπιάσω. Σοφ. Ποιμέσιν. Ἕκτωρ τοῖς Ἀχαιοῖς βυλόμενος μάχεσθαι, φησίν·

Ἡδὺ ξανῆσαι, καὶ προγυμνάσαι χέρα.

Photius, Suidas. Senarium vertit Grotius:

Sic dulce manibus prælio proludere.

ΞΑΣΜΑ, Σοφοκλῆς. *Pollux,* vii. 30. Sic nimirum appellavit τὸ ξανθὲν ἔριον.

ΞΗΡΑΛΟΙΦΕΙΝ ἐλέγετο χωρὶς λυτρῶν ἀλείφεσθαι.—μήποτε καὶ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον ξηροτρίϐεσθαι ὕτως ἔλεγον. Σοφ. Πηλεῖ·

Καὶ ξηραλοιφῶν εἵματος διὰ πτυχῶν.

Harpocration.

ΞΥΜΒΟΛΟΥΣ, τὺς διὰ τῶν πταρμῶν οἰωνισμὺς ἔλεγον· ἀνετίθεντο δὲ ὗτοι Δήμητρι· τινὲς δὲ, τὰς διὰ τῆς φήμης γινομένας μαντείας, ἃς Φιλόχορός φησι Δήμητρα εὑρεῖν. Σοφ. Ἀχαιῶν συλλόγῳ. *Heſych.*

ΞΥΝΕΡΞΕΤΕ, ἀποκλείσετε. Σοφ. *Suidas* ex Aj. 597.

ΟΔΟΣ. Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριςοκράτυς φησὶν, Ἢ ἐν ὁδῷ καθελών· ἀντὶ τῦ ἐν λόχῳ καὶ ἐνέδρᾳ· τοιῦτον δὲ εἶναι καὶ τὸ Ὁμηρικόν φασιν,

(Il. A. 151.) Ἢ ὁδὸν ἐλθέμεναι· εἰ δὲ ψιλωθείη ἡ προτέρα, σημαίνει τὸν βαθμὸν, ὡς παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Φιλίππου, εἰ γνήσιος ὁ λόγος.—Ἢ ἐν ὁδῷ καθελὼν, ἀντὶ τοῦ, ἐνεδρεύοντα ἑλὼν, τουτέστιν ἔν τινι ἐνέδρᾳ καταβαλών—Καθελών. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν, Ἢ ἐν ὁδῷ καθελὼν, ἀντὶ τοῦ ἀνελὼν ἢ ἀποκτείνας· ἐχρήσαντο δὲ οὕτω τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλίου πέρσει καὶ Σοφοκλῆς ἐν Εὐμήλῳ. *Harpocrationis* tres istæ glossæ sic conjungendæ erant, ut intelligeretur quænam esset χρῆσις, quam ille Sophoclis au-ctoritate firmarit, nempe nominis ὁδὸς, adhibiti pro λόχος vel ἐνέδρα. Tenuati ὀδὸς significantis βαθμὸν usum e Sophocle etiam confirmare poterat, apud quem hoc sensu occurrit in Œd. Col. 58. 1661.

ΟΔΟΣ, οὐδός. Σοφ. *Suidas* ex Œd. Col. 1661.

ΟΙΑΤΑΝ, κωμήτην· οἶαι γὰρ αἱ κῶμαι. *Hesych.* ΟΙΗΤΑΣ, τοὺς κωμήτας. Σοφ. Ἀνδρομέδᾳ. *Photii Lex. MS.*

ΟΙΑΤΙΔΟΣ ΕΚ ΝΟΜΟΥ. Σοφ. Οἰδίποδι ἐπὶ Κολωνῷ. (1116.) τῆς προβατευομένης ἐκ νεμήσεως· οἱ δὲ, ἀπὸ τοῦ δήμου· κακῶς, οὐ γὰρ ἐγγὺς κεῖται. *Hesych.* Ἀπὸ δὲ τῶν οἰῶν, καὶ οἰάτιδος νομοῦ μέμνηταί τις παλαιὸς, τοῦ ἀπὸ προβάτων κατανεμομένου. *Eustath.* ad Iliad. p. 1225.

ΟΚΡΙΑΖΩΝ, τραχυνόμενος. Σοφ. *Photii Lex. MS.*

ΟΛΕΘΡΙΟΝ· μέχρι θανάτου. Σοφ. Ὀλέθριον αἰκίζει. *Suidas* ex Aj. 402.

ΟΛΚΙΑ Σοφοκλῆς τὰ πηδάλια ἐν Ναυπλίῳ ὠνόμασε. *Pollux*, x. 134.

ΟΛΟΣΠΑΔΕΣ, ὅλαι κατατεινόμεναι καὶ κατασπώμεναι. Σοφ. *Photii Lex. MS.*

Τὰς δὲ ταινίας, ΟΛΟΣΤΗΜΟΝΟΥΣ ΤΟΛΥΠΑΣ Σοφοκλῆς ὠνόμασεν. *Pollux*, vii. 32.

ΟΜΜΑΤΕΙΟΣ ΠΟΘΟΣ. διὰ τὸ ἐκ τοῦ ὁρᾶν ἁλίσκεσθαι ἔρωτι. Ἐκ τοῦ γὰρ εἰσορᾶν γίγνετ' ἀνθρώποις ἐρᾶν· καὶ Σοφ. ἐν Ἀχιλλέως ἐρασταῖς ΟΜΜΑΤΑ ΠΛΑΤΥΛΟΓΧΑ φησίν. *Hesych.* a Jo. Toup emendatus, Epist. crit. p. 133.

ΟΜΟΓΝΙΟΙ ΘΕΟΙ, οὓς οἱ συγγενεῖς κοινῶς ὀργιάζουσιν. *Photii Lex. MS.* Pertinet ad Œd. Col. 1398.

ΟΜΟΥ. Vide ad Antig. 1180.

ΟΜΠΝΙΟΝ ΝΕΦΟΣ, μέγα, πολὺ, ηὐξημένον. Σοφ. Θησεῖ. *Suidas* et *Photius* in *Lex. MS.* ubi Ὄπνιον.

ΟΝΑΙΑΤΟ, ἀπολαύσειαν. Σοφ. *Suidas* ex Electr. 213.

ΟΠΙΣΑΜΒΟΝ. ταύτην Χρύσιππος τάττει κατὰ τῶν χειρῶν ἐν τοῖς πρα-

γμασι προβαινόντων, παρὰ τὸ ἀεὶ ὀπίσω βαίνειν· μέμνηται δὲ τοῦ ὀνόματος Σοφοκλῆς. *Appendix Vatic. Proverb.* iii. 36. Ἐν δὲ τῷ κατὰ στοιχεῖον λεξικῷ καὶ ΟΠΙΣΑΜΒΩ εὕρηται, ἡ εἰς τοὐπίσω ἀναχώρησις. *Eustath.* ad Iliad. p. 806.

ΟΡΓΑΣΑΙ, τὸ πηλοποιῆσαί ἐστι, καὶ ὑγρῷ ξηρὸν μίξαι. Σοφ. Θέλοιμι πηλὸν ὀργάσαι. *Etymol. M.* in Ὀργάδα γῆν. Confer Hesychium in Ὀργάσαι. Comicus, Av. 839. Πηλὸν ἀποδὺς ὄργασον.

ΟΡΓΑΣΜΟΣ, μαλαγμός· μέμνηται τῆς λέξεως καὶ Σοφοκλῆς ἐν Πανδώρᾳ λέγων·

Καὶ πρῶτον ἀργὸν πηλὸν ὀργάζειν χεροῖν.

καὶ Ἀττικοὶ δὲ ἰδίως λέγουσιν ὀργάσαι, καὶ τὰ ὑγρὰ τοῖς ξηροῖς μίξαι καὶ ἀναφυρᾶσαι, καὶ οἷον πηλὸν ποιεῖν. E Scholiis MS. in Hippocratem. Vide Timæi Lexicon Platon. p. 129.

ΟΡΘΟΚΕΡΩΣ, ὀρθόθριξ. Σοφ. *Photii Lex. MS.* Κέρας ἡ κόμη· ὃ καὶ Ὅμηρον δηλοῦν τινες ἔφασαν, εἰπόντα τὸν Πάριν, Κέρ' ἀγλαόν. (Ἰλ. Λ. 385.) ὅθεν καὶ παρὰ Σοφοκλεῖ, Ὀρθόκερως φρίκη, οἷον ὀρθόθριξ. *Pollux*, ii. 31.

ΟΡΘΟΠΤΕΡΟΝ. Σοφ. Αἰθίοψιν· ὀρθοὺς ἔχοντα κολωνούς· τὰ γὰρ εἰς ὕψος ἀνέχοντα, πτερὰ ἔλεγον, καὶ τὰ περιστόα. *Photii Lex. MS.* Vide Hesychium in Ὀρθόπτερος.

ΟΡΘΟΦΡΩΝ, ἀνατεταμένος καὶ μετέωρος ταῖς φρεσίν· οὕτως Σοφοκλῆς. *Photii Lex. MS.*

ΟΡΜΕΝΟΣ, ὁ τῆς κράμβης ἀστράγαλος παρὰ Ἀττικοῖς, διὰ τὸ ἐξορούειν καὶ βλαστάνειν, ἤγουν ὁ ἀπὸ τῆς κράμβης ἐξηνθηκώς· ὅθεν καὶ ΕΞΟΡΜΕΝΙΖΩ ῥῆμα. Σοφ.

Κἀξορμενίζει, κοὐκ ἐπισχολάζεται
Βλάστη.

τοῦτέστιν οὐ σχολὴν ἡ βλάστη ἔχει, ἀλλὰ δηλονότι ὁρμᾷ εἰς αὔξην κατὰ τὰ ἐξορμενίζοντα φυτά. *Eustathius* ad Iliad. p. 857. *Athenæus*, p. 62.

ΟΥΔΕΝ ΕΡΓΟΝ, οὐδὲν ὄφελος. Σοφ. *Suidas* in Ἔργον εἰπεῖν· ex Aj. 863.

ΟΥΚ ΕΚΦΡΩΣΙΝ, οὐκ ἐξαφῶσιν. Σοφ. *Photii Lex. MS.* Vide Comicum, Vesp. 156.

ΟΥ ΚΩΦΙΖΕΙ, οὐ βλάπτει. Σοφ. ἐν Ἐπὶ Ταινάρῳ Σατ. *Ibid.* ubi male scriptum οὐκ ὤφιζεν. Vide Hesychii interpretes ad glossam Οὐ κωφεῖ.

ΟΥΡΑΝΙΑ ΑΧΝΗ, ἡ δρόσος. *Suidas* ex Œdipo Col. 713.

ΟΥΡΑΝΙΟΝ ΑΧΟΣ, τὸν κονιορτόν. Σοφ. *Photii Lex. MS.* ex Antig. 424.

ΟΥΡΙΣΑΙ, ἀποκαταστῆσαι εἰς ἔριον. *Idem.* Pertinet hæc gloſſa ad Œd. Tyr. 714. Nomen Σοφοκλῆς, quod ſubjici debebat librarii errore in fine præcedentis gloſſæ poſitum fuit, οὐρὰν, αἰδοῖον. Σοφ.

ΟΦΕΛΜΑ, αὔξημα. Σοφ. *Idem.*

ΟΧΟΣ ΑΚΕΣΣΑΙΟΣ. ἐοίκεν αἱ Σικελικαὶ ἡμίονοι εἶναι σπουδαῖαι· ἡ γὰρ Ἄκεσσα, Σικελικὴ πόλις. Σοφ. Ὑδροφόροις. *Idem.*

ΠΑΘΑΙ, αἱ συμφοραί·—πάθας θηλυκῶς, πάθη, ξυμφοράς. Σοφ. *Suidas*, Œd. Col. 7. Aj. 295.

ΠΑΛΙΝΣΚΙΟΝ, ζοφερόν. Σοφ. Ἰνάχῳ·

Χειμῶνι σὺν παλινσκίῳ.

Harpocrat.

ΠΑΠΠΟΣ, ἀκάνθης ἄνθημα· ἐπὰν γηράσῃ καὶ ἀποξηρανθῇ, καὶ ὑπὸ ἀνέμων ἐκριπίζεται, καὶ τόπον ἐκ τόπου μεταβάλλει. *Heſych.* Pertinet ad Sophoclis ſenarium, quem ſervavit *Plutarchus*, Moral. p. 1100.

Γραίας ἀκάνθης πάππος ὡς φυσώμενος.

ΠΑΡΑΚΡΟΥΕΤΑΙ, ἀντὶ τοῦ ἐξαπατᾷ—μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντας τι, ἢ μετροῦντας κρούειν τὰ μέτρα, καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν· καὶ Σοφοκλῆς που·

Ὡς μήτε κρούσῃς, μήθ᾽ ὑπὸ χεῖρα βάλῃς.

Harpocration, quem falſo citaſſe ſuſpicor. Pentameter hic elegiacus Theognidis potius quam Sophoclis eſſe videtur.

ΠΑΡΑΡΥΜΑ ΠΟΔΟΣ. Σοφ. Πολυξένῃ. ὡς κρεμαμένων τινῶν ὑφασμάτων ἐκ τοῦ εἵματος πρὸς κάλλος· τινὲς δὲ, σχοινίον ἐν ταῖς ναυσίν· οἱ δὲ, ὑπόδημα. *Heſych.*

ΠΑΡΑΣΑΓΓΑΙ, τὰ τριάκοντα στάδια παρὰ Πέρσαις· παρ᾽ Αἰγυπτίοις δὲ, ἑξήκοντα· παρὰ δὲ Σοφοκλεῖ ἐν Ἀνδρομάχῃ ἐπὶ τοῦ ἀγγέλου εἴρηται. *Etymol. M.*

ΠΑΡΕΣΤΙΝ, ἐκ παντὸς δυνατόν ἐστιν. *Photii Lex. MS.* Pertinet ad Œd. Tyr. 785.

ΠΑΡΟΥΣΙΑ. λέγεται οὕτως ἐπὶ τῆς τῶν παρόντων δαψιλείας—καὶ ἐπὶ τοῦ παρεῖναι, ὡς καὶ ἐν τοῖς Νίπτροις Σοφοκλέους·

τὴν παρουσίαν

Τῶν ἐγγὺς ὄντων.

Photii Lex. MS. et *Suidas.*

ΠΑΤΡΟΚΤΟΝΟΣ. Σοφ. ὁ γὰρ πατροφόντης καὶ μητροφόντης, ποιητικόν. *Pollux*, iii. 13.

ΠΕΛΟΝ, ὑπόφαιον· ἀγνοοῦντες δέ τινες γράφουσι πέλιον· ὡς καὶ Σοφ. ἐν Ποιμέσι, καὶ ἐν Ἀμφιαράῳ φησί.

Κυνὸς, πελῆς τι μηκάδος ῥινὸν βοός.

Erotiani Lex. Hippocrat.

ΠΕΜΦΙΞ· νυνὶ δὲ ἀρκέσει τοῖς γραμματικοῖς ἀκολουθήσαντα, κατὰ τὴν ἐκείνων διάταξιν εἰπεῖν τι περὶ τῶν κατὰ τὴν πέμφιγα σημαινομένων· δοκεῖ μὲν γὰρ αὐτὴν ἐπὶ τῆς πνοῆς Σοφοκλῆς ἐν Κόλχοις λέγειν·

Ἀπῆξε πέμφιξ Ἰονίου πέλας πόρου.

καὶ ὁ αὐτὸς ἐν Σαλμωνεῖ Σατυρικῷ·

Καὶ τάχ᾽ ἂν Κεραύνια
Πέμφιξι βροντῆς καὶ δυσοσμίας βάλοι.

ἐπὶ δὲ τῶν ἀκτίνων αὐτῶν δοκεῖ χρῆσθαι τῷ τῆς πέμφιγος ὀνόματι Σοφοκλῆς ἐν Κόλχοις κατὰ τάδε τὰ ἔπη·

Κἀπεθαύμασα
Τηλέσκοπον πέμφιγα χρυσείαν ἰδών.

ἐπὶ δὲ τοῦ νέφους δοκεῖ τετάχθαι κατὰ τόδε τὸ ἔπος ἐν Σαλμωνεῖ Σατυρικῷ παρὰ Σοφοκλεῖ·

Πέμφιγι πᾶσαν ὄψιν ἀγγέλῳ πυρός.

Galenus, Comment. i. ad Hippocratis περὶ τῶν ἐπιδημίων, vi. p. 454. edit. Basil. emendatus a Bentleio Epist. ad Millium, p. 57.

ΠΕΝΘΕΡΟΣ, τῷ νυμφίῳ ὁ τῆς κόρης πατήρ. Σοφοκλῆς δὲ τὸ ἔμπαλιν· εἶπε γὰρ πενθερὸν, τὸν γαμβρὸν ἐν Ἰφιγενείᾳ. Ὀδυσσεύς φησι πρὸς Κλυταιμνήστραν περὶ Ἀχιλλέως·

Σὺ δ᾽ ὦ μεγίστων τυγχάνουσα πενθερῶν·

ἀντὶ τοῦ γαμβρῶν. *Suidas.* Γαμβρὸν δὲ, τὸν νυμφίον, ἢ τὸν κατ᾽ ἐπιγαμίαν οἰκεῖον· ἐναλλάσσεται δὲ τὸ ὄνομα πολλάκις. Σοφοκλῆς δὲ τὸν πενθερὸν ἀντὶ τοῦ γαμβροῦ λέγει. *Etymol. M.* in Γάμος. Vide not. ad Œd. Tyr. 70.

ΠΕΣΣΑ ΠΕΝΤΕΓΡΑΜΜΑ ΚΑΙ ΚΥΒΩΝ ΒΟΛΑΣ. Σοφ. Ναυπλίῳ Πυρκαεῖ. (fragm. vi.) παρ᾽ ὅσον πέντε γραμμαῖς ἔπαιζον· διαφέρει δὲ πεττεία κυβείας· ἐν ᾗ μὲν γὰρ τοὺς κύβους ἀναῤῥίπτουσιν· ἐν δὲ τῇ πεττείᾳ αὐτὸ μόνον τὰς ψήφους μετακινοῦσι. *Hesych. Pollux*, ix. 97. *Eustathius* ad Odyss. p. 28. Πεττεία, ἡ πεσσεία, ὡς Σοφοκλῆς. *Pollux*, vii. 203.

ΠΗΛΟΣ· κάπηλος, ὁ μεταβολεὺς, καὶ οἰνοπώλης· παρὰ τὸ χέειν τὸν πηλὸν, ἤγουν τὸν οἶνον· τινὲς οἴονται ἐν ἀνθ᾽ ἑνὸς εἶναι, πηλὸν καὶ οἶνον, ἐκ τοῦ παρὰ Σοφοκλεῖ·

Πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται·

ὁ μὲν ἐν Σοφοκλῆς εὐεπίφορος εἰς τὸν πηλόν. *Etymol. M.* Vide Gatakerum, Operum tom. i. p. 446. et Toupium ad Suidam, ii. 66. Inde inter fragmenta Sophoclis retulit Heathius hæc verba εὐεπίφορος ἐς τὸν πηλὸν, quæ Sophoclis non ſunt, ſed grammatici ſignificantis uſum vocis πηλὸς Sophocli adamatum fuiſſe et frequentatum, ut quum ad Aj. 618. Scholiaſtes ait: εὐεπίφορος δὲ ὁ ποιητὴς ἐπὶ τὰς τοιαύτας μελοποιΐας· et ad Antig. 909. εὐεπίφορος Σοφοκλῆς εἰς τὸ ΤΡΕΦΩ ἀντὶ τοῦ ΕΧΩ λέγειν. Non animadvertit mancam et mutilam eſſe Suidæ notam, quæ ex Etymologo ſuppleri debet.

ΠΟΡΣΥΝΕΤΑΙ, ὁδεύεται· ἀπὸ τοῦ πόρου. Σοφ. *Photii Lex. MS.* Pertinet ad Philoct. 794.

ΠΡΟΝΟΥΣΤΕΡΟΣ, ἀντὶ τοῦ προνοητικώτερος. Σοφ. Αἴαντι μαστιγοφόρῳ (119.) *Lex. MS. Sangerm.* Προνούστερος, προμηθέστερος, προνοητικώτερος. *Suidas.* Male in Photii Lexico ſcriptum προνουστέρως, ἀντὶ τοῦ προνοητικώτερως. Σοφ.

ΠΡΟΣΤΑΤΗΡΙΟΣ Ἀπόλλων· ἐπεὶ πρὸ τῶν θυρῶν αὐτὸν ἱδρύοντο. Σοφ. *Photii Lex. MS.* Pertinet ad Electr. 639.

ΠΡΟΣΤΑΤΟΥ. (Σοφ. Οἰδίποδι Τυρ. 419.)

Ὥστ᾽ οὐ Κρέοντος προστάτου γεγράψομαι.

ἀπὸ τοῦ Ἀθήνησι νομίμου ἀνάγει εἰς τοὺς ἥρωας· ἔνεμον γὰρ προστάτην οἱ μέτοικοι· καὶ οἱ μὴ ἀπογραφόμενοι τοῦτον, ἀπροστασίου δίκην ὤφειλον. *Heſych.*

ΠΡΟΣΧΗΜΑ· καὶ ἡ πρόφασις, καὶ τὸ οἱονεὶ προκάλυμμα· ἔτι δὲ καὶ τὸ καλλώπισμα. Σοφ. ἐν Ἠλέκτρᾳ· (527. 684.) *Thomas Mag.*

ΠΤΕΡΥΓΕΣ, τὰ πηδάλια. Σοφ. *Photii Lex. MS.*

Τὸ ΠΤΥΟΝ, καὶ πτέον ἔλεγον οἱ Ἀττικοὶ ὕστερον, ὡς Αἴλιος Διονύσιός φησι· πτύον δὲ Σοφοκλῆς, ἀκολουθῶν δηλαδὴ τῷ ποιητῇ. *Euſtath.* ad Iliad. p. 925.

ΠΥΓΑΡΓΟΣ, εἶδος ἀετοῦ. Σοφοκλῆς ἐπὶ τοῦ δειλοῦ, ἀπὸ τῆς λευκῆς πυγῆς, ὥσπερ ἐναντίως μελαμπύγης ἀπὸ τῆς ἰσχυρᾶς. *Etymol. M.*

ΠΥΝΔΑΞ. Vide in ΑΠΥΝΔΑΚΩΤΟΣ.

ΡΑΙΚΟΥΣ. οἱ βάρβαροι τοὺς Ἕλληνας. Σοφοκλῆς τῇ λέξει κέχρηται. *Photii Lex. MS.* At juxta Euſtath. ad Ἰλ. Μ. p. 846. Sophocles voce Γραικοὶ uſus eſt: ΓΡΑΙΚΟΥΣ, ἡ μὲν συνήθεια καὶ Σοφοκλῆς δέ που κατὰ τοὺς παλαιοὺς, καὶ ὁ Λυκόφρων δὲ διὰ τοῦ ἐν ἀρχῇ γ προφέρουσιν ἐπὶ Ἑλλήνων· οἱ βάρβαροι δὲ Ῥαικούς φασι δίχα τοῦ γ, ὡς ἐν παλαιῷ εὕρηται ῥητορικῷ λεξικῷ.

ΡΑΚΤΗΡΙΟΙΣ ΚΕΝΤΡΟΙΣΙΝ. ἀντὶ τῦ ταῖς κώπαις, διὰ τὸ ἀράττεσθαι· καὶ ἐν Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ·

Μέλη βοῶν ἄναυδα καὶ ῥακτήρια.

ἀντὶ τοῦ ψοφώδη καὶ θορυβώδη. *Hesych.*

Πᾶς ὁ πετρώδης αἰγιαλὸς, ῥαχίας καλεῖται· καὶ γῆ δέ τις ἐν τοῖς μετάλλοις ὕτω καλυμένη· παρὰ τῷ Σοφοκλεῖ ΡΑΧΙΑ λέγεται ἡ τῦ ὄρους. *Etymol. M.* in Ῥάχις.

ΡΑΧΟΙ, αἱ μυρίκιναι ῥάβδοι.

Ῥάχοισιν ὁρκάδος στέγης.

Σοφοκλῆς δὲ, τὺς φραγμὺς ποίμνης. Ῥάχυς, τὰς ἀκανθώδεις καὶ τραχείας ῥάβδυς λέγυσι. *Photii Lex. MS.*

ΡΑΨΩΔΟΣ ΚΥΩΝ, ἡ Σφίγξ· οὕτως Σοφ. *Idem.* Pertinet ad Œd. Tyr. 399.

ΡΕΙΤΑ. ἐν Ἐλευσῖνι δύο ναμάτια φερόμενα ἐκ μιᾶς πηγῆς, καλούμενα Ῥειτά· ὕτως Σοφ. Ῥειτῶν, τόπος ἱερῶν ῥευμάτων. *Idem.*

ΡΗΤΩΡ, συνήγορος, δικολόγος· καὶ ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κρίσης παρὰ Σοφοκλεῖ. *Photii Lex. MS.* et *Suidas.*

ΡΙΚΝΟΣ, ὁ πεφρικὼς παρὰ Σοφοκλεῖ. ΡΙΚΝΟΥΣΘΑΙ, τὸ διέλκεσθαι, καὶ παντοδαπῶς διαστρέφεσθαι κατ' εἶδος· λέγεται δὲ καὶ ῥικνῦσθαι, τὸ καμπύλον γίγνεσθαι, ἀσχημόνως καὶ κατὰ συνυσίαν καὶ ὄρχησιν κάμπτοντα τὴν ὀσφύν. Σοφ. Ἰχνευταῖς. *Photii Lex. MS.*

ΡΥΤΗΡΕΣ, χαλινοὶ, ἱμάντες, ἡνίαι. Ῥυτῆρι κρούων γλυτὸν ὑπτίυ ποδός· Σοφ. *Idem.* Confer Hesych. in Ῥυτῆρι κρούων. Sophoclis versus sic scribendi.

Καὶ μὴν ὑβρίζων αὐτίκ' ἐκ βάθρων σ' ἐλῶ
Ῥυτῆρι κρούων γλυτὸν ὑπτίυ ποδός.

ἐλῶ futurum est Atticum pro ἐλάσω.

ΣΑΓΜΑ, ἡ θήκη τῦ ὅπλυ· σάγη δὲ, τὸ ὅπλον. Σοφ.

Κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασι.

Suidas. Σάκος, ἀσπίς· ἀφ' οὗ καὶ οἱ νεώτεροι ΣΑΓΗΝ, τὴν ὅλην πανοπλίαν λέγυσιν, ὡς Σοφοκλῆς. *Apollonii Lex. Homericum.*

ΣΑΚΟΔΕΡΜΙΤΗΣ. Σοφ. Τρωΐλῳ· οἱ μὲν τὸν ὄφιν· οἱ δὲ σκώληκα τὰ δέρματα διεσθίοντα· ἄμεινον δὲ τὸν ἐπὶ τῷ δέρματι χαλκὸν ἔχοντα, παρ' ὅσον τὰ σάκη ἐπίχαλκα. *Photius* et *Lex. MS. Sangerm.* Confer Hesychium in Σακοδερμιστής.

ΣΑΛΑΒΗΝ. Σοφοκλῆς τὴν ὀπήν. ΣΑΛΑΜΒΗ, ὀπὴ, καπνοδόκη· οὕτως Σοφοκλῆς. *Photii Lex. MS.* Prior glossa est etiam in *Lex. MS. Sangerm.*

ΣΑΛΗΤΟΝ. Σοφ. Ἀνδρομέδα· ἀντὶ Σαράπιδος· ἢ βαρβαρικὸν χιτῶνα· οἱ δὲ καὶ μεσόλευκον αὐτὸν εἶναι φασί. *Hesych.*

ΣΕΙΡΙΟΥ κυνὸς δίκην. Σοφοκλῆς, τὸν ἀςρῷον κύνα· ὁ δὲ Ἀρχίλοχος, τὸν ἥλιον. Ἴβυκος δὲ, πάντα τὰ ἄςρα. *Idem.*

ΣΕΛΑΣ οὐ μόνον πῦρ, ἀλλὰ καὶ ἡλίου· ὅθεν παρὰ Σοφοκλεῖ ἡ ὀπὴ, ὡς ἐν ῥητορικῷ εἴρηται λεξικῷ. *Eustath.* ad Odyss. p. 758. Hinc collige *fenestram,* quæ ὀπὴ communiter dicitur, Sophoclem appellaſſe σέλας.

ΣΕΜΝΑ τῆς σῆς παρθένε μυςήρια. Σοφ. τὰ ἄῤῥητα, καὶ ἀνεξήγητα μυςήρια. *Hesych.*

ΣΙΑΓΟΝΟΣ δὲ μνημονεύει Σοφοκλῆς Ἀμύκῳ·

Σιαγόνας τε δὴ

Μαλθακὰς τίθησι.

Athenæus, lib. iii. p. 94.

ΣΙΚΛΟΣ (*Lex. Sangerm.* ΣΙΓΛΟΣ) καὶ τὸ ἐνώτιον, καὶ ςαθμὸς βαρβαρικὸς δυνάμενος ὀκτὼ ὀβολὰς Ἀττικούς· οὕτως Σοφ. *Photii Lex. MS.*

ΣΙΛΦΙΟΥ ΛΕΙΜΩΝ. Σοφ. περὶ γῆς ἐν Λιβύῃ τὸ σίλφιον φερούσης. *Hesych.*

ΣΟΥΣΘΩ παρὰ Σοφοκλεῖ (Aj. 1431.) ἐκ τοῦ σοῦσθαι συναιρεθέν. *Philemon Grammat. MS.*

ΣΟΦΙΣΤΑΣ μὲν καὶ σοφὲς ἔλεγον τὲς ποιητάς. Σοφ.

Μὲν' εἰς σοφιςὴν τὸν ἐμόν.

Schol. Pindari ad Iſthm. v. 36. Οἱ παλαιοὶ σοφὲς ἐκάλεν ἅπαντας τὲς τεχνίτας· καὶ Σοφοκλῆς δὲ, φασὶ, τὸν κιθαρῳδὸν, σοφιςὴν λέγει. *Euſtath.* ad Iliad. p. 1028. Confer Athenæum, p. 632.

ΣΤΑΘΜΟΣ, ἡ ἔπαυλις, ἣν Σοφοκλῆς μεταπλάσας ΣΤΑΘΜΑ λέγει. *Philemon Grammat. MS.* Pertinet ad Œd. Tyr. 1159.

Ἐγγαςρίμυθον ἢ Ἐγγαςρίμαντιν Σοφοκλῆς ΣΤΕΡΝΟΜΑΝΤΙΝ φησί. *Schol. MS. Platonis.* Confer Pollucem, ii. 162. et Suidam in Ἐγγαςρίμυθος.

ΣΤΟΜΩΔΗ, τὰ εὔςομα, καὶ εὔφημα. Σοφ. *Pollux,* ii. 101.

ΣΤΡΑΒΑΛΟΚΟΜΑΝ, ἑλικοκόμαν. *Hesych.* ἑλικόκομος, ἑλικοκέφαλος· τὸν δὲ τοιοῦτον ςραμβολοκομᾶν Σοφοκλῆς ὠνόμασεν. *Pollux,* ii. 23.

ΣΥΑΓΡΟΣ. Σοφοκλῆς τὸ σύαγρος ἐπὶ κυνὸς τάσσει, ἀπὸ τοῦ σῦν ἀγρεύειν. *Lex. MS. Bibl. Reg.* Vide in Ἀχιλλ. Ἐραςαῖς, fragm. v.

ΣΦΑΓΕΥΣ παρὰ Σοφοκλεῖ καὶ τὸ ξίφος. *Pollux,* vi. 192. Pertinet ad Aj. 826.

ΣΧΟΛΗ. ἀντὶ τοῦ οὐδ' ὅλως, βραδέως, οὐδαμῶς. Σοφ. *Suidas* ex Œd. Tyr. 442. Sic etiam Antig. 396.

ΣΩΚΕΙΝ, τὸ ἰσχύειν. Σοφ. ἐν Ἠλέκτρᾳ. (118.) *Etymol. M.* in Σῶκος. *Euſtath.* ad Iliad. p. 796.

ΤΑΡΒΕΙ, φοβεῖται· καὶ παρὰ Σοφοκλεῖ ταρβεῖν, ἀντὶ τοῦ τιμᾷν. *Suidas* ex Œd. Col. 296.

ΤΑΥΡΟΦΑΓΟΝ, τὸν Διόνυσον. Σοφ. ἐν Τυροῖ· ὅτι τοῖς τὸν διθύραμβον νικήσασι βοῦς ἐδίδοτο· ἢ τὸν ὠμηστήν· ἀφ' οὗ καὶ ἐπὶ τὸν Κρατῖνον μετήνεκται τοὔνομα. *Etymol. M.* e ſcholiis ad Comici Ranas, 360. quæ Suidas etiam deſcripſit.

Τελούμενοι, οἱ τὰ μυστικὰ διδασκόμενοι· σύστοιχον δὲ τῇ τοιαύτῃ σημασίᾳ καὶ τὸ δηλοῦν τὴν θυσίαν ΤΕΛΟΣ, οὗ χρῆσις καὶ παρὰ Σοφοκλεῖ. *Philemon Gramm. MS.*

ΤΕΩΣ—Σοφ. ἀντὶ τοῦ πρότερον, ἢ πρὸ μικροῦ. *Suidas.*

ΤΗΤΑΣΘΑΙ, στερίσκεσθαι. Σοφ. *Idem.* (Philoct. 387. Œd. Col. 1689.

ΤΟ ΘΕΡΜΟΝ ΤΟΥ ΟΒΕΛΟΥ· ἐπὶ τῶν ἀναιρουμένων τὰ χείρονα ἀντὶ τῶν κρειττόνων ἡ παροιμία, ἀπὸ τῶν ἀπείρως δρασσομένων κατὰ τὸ πεπυρωμένον τῶν ὀβελίσκων· μέμνηται αὐτῆς Σοφοκλῆς. *Photii Lex. MS. Suidas. Zenobius,* Prov. vi. 19.

ΤΟΠΑΖΕΙΝ, στοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονοεῖν· καὶ παρὰ Σοφοκλεῖ ἐν Ἠριγόνῃ·

ἃ δὲ
Δόξῃ τοπάζω, ταῦτ' ἰδεῖν σαφῶς θέλω.

Etymol. M. Eadem fere in *Photii Lexico* leguntur: Τοπάζειν, οἷον στοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονοεῖν· καὶ ἐτόπαζον ὁμοίως· καὶ παρὰ Σοφοκλεῖ Ἠριγόνῃ·

ἃ δὲ
Δοκῇ τοπάζων, ταῦτ' ἰδεῖν σαφῶς θέλω.

διὸ καὶ ὑποτοπεῖν, τὸ ὑπονοεῖν λέγουσι. Legiſſe videtur δοκῇ 'τόπαζον. Idem eſt δοκὴ, quod δόκησις. Vide not. ad Trachin. 425.

ΤΡΑΣΙΑ λέγεται ὁ τόπος ἔνθα τὰ σῦκα ξηραίνεται, παρὰ τὸ τερσαίνειν· ὁ δὲ Σοφοκλῆς ἐν τῷ ἑτέρῳ Ἀμφιαράῳ ἐπὶ τῆς ἅλω ἐτίθη τὴν λέξιν. *Lex. MS. Bibl. Reg.* et *Scholion in Mediceo Cod.* ad Æliani Hiſt. Anim. iii. 10.

ΤΡΙΤΟΣ ΚΡΑΤΗΡ. Σοφ. Ναυπλίῳ καταπλέοντι· ἐν ταῖς συνουσίαις ἐκιρνῶντο κρατῆρες τρεῖς· καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον· τὸν δὲ δεύτερον, Ἡρώων· τὸν δὲ τρίτον, Σωτῆρος. *Heſych.* Vide Nauplii fragm. i.

ΤΡΟΠΑΙΑ, ἡ ἐναντία πνοή· οὕτως Σοφ. *Photii Lex. MS.* et *Etymol. M.* Male in utroque ſcriptum τρίπαια.

Κύκλους, καὶ τροχοὺς, τὰ τείχη. ΤΡΟΧΟΝ δὲ, τὸ τεῖχος, ὡς Σοφ. Ἡρακλεῖ. Κυκλώπειον τροχόν. *Hesych.*

ΤΥΦΩ, ἀντὶ τοῦ Τυφῶνος. Σοφ. *Idem.*

ΤΥΧΗ, συντυχία, παρὰ Σοφοκλεῖ. *Suidas.*

ΤΩ ΧΕΙΡΕ, Ἀττικόν ἐστι· σύνηθες γὰρ τοῖς Ἀττικοῖς χρῆσθαι τοῖς ἀρσενικοῖς ἄρθροις ἐν τοῖς θηλυκοῖς ὀνόμασι—καὶ ὁ Σοφοκλῆς (Electr. 983.)

Ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι.

ἀντὶ τῦ, ταύτας τὰς κασιγνήτας. *Lex. MS. Bibl. Reg.* Confer Scholiastam ad Œd. Col. 1741. et Eustathium ad Iliad. p. 613.

ΥΠΑΡΧΟΣ, ὁ ἐφ' ἑτέρῳ ἀρχόμενος· ὁ ὑποτεταγμένος ἑτέρῳ· ὁ μὴ ὢν αὐτοκράτωρ. Σοφ. *Suidas* ex Aj. 1124.

ΥΠΕΙΚΑΘΩΝ, ὑποχωρῶν· καὶ ὑπεικάθοιμι. Σοφ. *Idem.*

ΥΠΟΥΛΟΝ εἶπε Σοφοκλῆς τὸν δούρειον ἵππον· παρενεγκὼν αὐτὸ ἐκ τοῦ σκωπτικῶς λεγομένου ὑπούλου ἤθους, τοῦ κατ' ἄνθρωπον μὴ ὑγιῶς ἔχοντα τοῦ τρόπου, ὡς ἀπὸ ἑλκῶν, ἃ δοκοῦντα ὑγιᾶσθαι, οὐκ εἰς παντελὲς, φασὶ, καθαρεύει· ἀλλὰ δηλαδὴ ὑπὸ τὴν προφαινομένην οὐλὴν κακόν τι κρύπτει. *Eustath.* ad Odyss. p. 168.

ΥΠΟΦΡΟΝ, κρυφαῖον, ὥς φησιν ὁ Ταραντῖνος· μαρτυρεῖ καὶ Σοφ. ἐν Ἠριγόνῃ, λέγων·

Νῦν δ' εἴρῃ ὕποφρος ἐξ αὐτῶν, ἕως
Ἀπώλεσέν τε χαὐτὸς ἐξαπώλετο.

μέμνηται ὁ αὐτὸς καὶ ἐν Ἰφιγενείᾳ. *Erotiani Lex. Hippocr.* Prior senarius ita corruptus est, ut sine meliori libro restitui non possit.

ΥΨΑΥΧΕΙΝ, μεγαλαυχεῖν. Σοφ. *Phrynichi Appar. sophist. Hesych.*

ΦΑΡΚΙΔΑ, τὴν ἐκ τοῦ γήρως ῥυτίδα· οὕτως Σοφ. *Lex. MS. Sangerm.* in quo mendose scriptum φαρμακίδα.

Ὅθεν καὶ τὸ ΦΑΡΟΣ συστέλλει τὸ α, ὡς παρὰ Σοφοκλεῖ ἐν Κρίσει Σατυρικῇ,

Καὶ δὴ φάρει τῷδ', ὡς ἐμοὶ, καλύπτομαι.

καὶ ἐν Τηρεῖ,

Σπεύδουσαν αὐτὴν, ἐν δὲ ποικίλῳ φάρει.

ἀναλογώτερόν ἐστι δὲ ἐκτείνοντος τὸ α, ὡς παρὰ Αἰσχύλῳ ἐν Σαλαμινίαις·

Ἐμοὶ γένοιτο φᾶρος ἶσον οὐρανῷ.

Herodiani Liber MS. περὶ διχρόνων. *Draco Stratonicensis* περὶ μέτρων, *MS.*

ΦΑΥΛΟΝ—τεθεῖη δ' ἂν καὶ ἐπὶ τοῦ μεγάλου. Σοφ. Αἰχμαλωτίσιν·

Εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω.

Suidas et Etymol. M.

ΦΙΛΑΝΔΡΟΝ πϐ τὴν Ἀταλάντην εἶπεν ὁ Σοφοκλῆς, διὰ τὸ ἀσπάζεσθαι σὺν ἀνδράσιν εἶναι, ἡμῶν πάλιν ἐπὶ ἄλλϐ πράγματος ταττόντων τοὔνομα τοῦτο. *Hermogenes de formis orat.* p. 412. Pertinet ad Meleagrum.

ΦΛΕΓΕΙ, ἀντὶ τϐ ζωπυρεῖ. Σοφ. ΦΛΕΓΩΝ, ζωπυρῶν, ἀνεγείρων. *Suidas* ex Aj. 196.

ΦΟΙΝΙΚΙΟΙΣ ΓΡΑΜΜΑΣΙ. Σοφ. Ποιμέσιν· ἐπεὶ δοκεῖ Κάδμος αὐτὰ ἐκ Φοινίκης κεκομικέναι. *Hesych.*

ΦΟΡΒΑΣ γυνὴ, παρὰ Σοφοκλεῖ, φασὶν, ἐν Φοίνικι, ἡ πολλοῖς προσομιλϐσα τροφῆς χάριν. *Eustath.* ad Iliad. p. 1117.

ΦΥΓΓΑΝΕΙ. Σοφ. ἀντὶ τϐ λανθάνει. *Suidas* ex Electr. 132.

ΦΥΤΑΛΜΙΟΣ. Σοφ.

Προσῆλθε μητρὶ καὶ φυταλμίῳ πατρί.

Etymol. M. in Φυτάλμιος. Eurip. Rheso, v. 923.

Λέκτροις ἐπλάθην Στρύμονος φυταλμίοις.

unde emendandus etiam *Hesychius:* Φυταλμίοις, φυτευτικοῖς, γονίμοις. Alio significatu occurrit in Œd. Col. 148.

ΧΑΡΙΝ καὶ τὴν δωρεὰν, καὶ τὴν ἀντίχαριν λέγει. Σοφ. ἐν Αἴαντι (522.) *Thomas Mag.*

ΧΕΙΜΑΜΥΝΑ παρὰ Σοφοκλεῖ ἡ παρ' Ὁμήρῳ ἀλεξάνεμος. *Lex. MS. Sangerm.* Confer *Hesychium.*

ΧΕΙΡΩΝΑΚΤΕΣ παρὰ Σοφοκλεῖ. *Pollux*, ii. 151. Χειρώνακτας, χειροτέχνας. Χειρῶναξ λεὼς, ὁ χειροτέχνης. *Hesych.* Vide fragm. Inc. LX.

ΧΕΡΣΕΥΕΙ. Σοφ. Ἴωνι·

κεῖνος μὲν
Βϐστάδας αὐλὰς ἐπιχερσεύει.

ἐπιχερσεύων ἔχει, ἢ ὅτως ἐμβατεύει. *Hesych.* emendatus a Jo. Toup, Epist. crit. p. 102.

ΧΛΩΡΑΝΘΕΙΣ, ἀντὶ τοῦ χλωρὸς γεννηθείς· οὕτως Σοφ. *Suidas.*

Μϐσαῖος—ὁ δὲ Σοφοκλῆς ΧΡΗΣΜΟΛΟΓΟΝ αὐτόν φησι. *Schol. Comici ad Ran.* 1065.

Τὸ παρὰ Σοφοκλεῖ ΧΡΥΣΩΠΙΔΕΣ ἐλλοὶ νήχοιτο, ὡς οἱ γλαυκώπιδες ἐκλίθη. *Eustath.* ad Odyss. p. 17.

ΨΑΚΑΛΑ, τὰ ἔμβρυα, καὶ τὰ ἄρτι δὴ γεγονότα, ὅθεν καὶ ψακαλοῦχοι μητέρες παρὰ Σοφοκλεῖ. *Eustath.* ad Iliad. p. 688. Idem ad Odyss. p. 350. ex Aristophanis Grammatici libro περὶ ὀνομασίας ἡλικιῶν. Ἔμβρυα δέ τινα καὶ ἀρτιγενῆ δὴ, ψάκαλα λέγει καλεῖσθαι καὶ ὀρταλίχϐς· ὅθεν φησὶ παρὰ Σοφοκλεῖ·

ψακαλοῦχοι
Μητέρες, αἶγές τ' ἐπιμαςίδιον
Γόνον ὀρταλίχων ἀναφαίνοιεν.

ΨΟ. ἐπίφθεγμα ἐν Ποιμέσι Σοφοκλέυς. *Etymol. M.* in Ἐχθές.

ΨΥΧΗ, καὶ ἡ φύσις, ὡς παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ (777.) Τῆς ἐμῆς ψυχῆς γεγώς· ἤγου ἐκ τῆς ἐμῆς φύσεως. *Philemon MS. et Thomas Mag.*

ΩΣ, λίαν. Σοφ.

Θαυμαςὰ γὰρ τὸ τόξον ὡς ὀλισθάνει.

Suidas. Vide not. ad Œd. Col. 15.

ΩΣ ΕΜΟΙ. Σοφ. ἐν Ἀντιγόνῃ (1175.) κατελλείψας εἶπεν τοῦ, ἐμοὶ δοκεῖ, ἢ ἐμοὶ κριτῇ, ἤ τινος τοιούτυ. *Lex. MS. Sangerm.* Vide Toupium ad Suidam, ii. 187. Valckenarium ad Eurip. Hippol. 324. et Schol. ad Aj. 395.

Ἔςι δὲ ὅτε καὶ τοῦ ΩΣΤΕ λείποντος, οὐδὲν παρὰ τοῦτο ἡ σύνταξις βλάπτεται, ὡς παρὰ Σοφοκλεῖ (Œd. Tyr. 1324.) Τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν. *Philemon Grammaticus MS.*

FINIS LEXICI SOPHOCLEI.

INDEX LOCORUM SOPHOCLIS

IN SUIDÆ LEXICO CITATORUM

SECUNDUM ORDINEM FABULARUM ET VERSUUM.

EX AJACE.

EX ELECTRA.

EX ŒDIPO TYRANNO.


EX ŒDIPO COLONEO.

EX ANTIGONA.

V.

E TRACHINIIS.

E PHILOCTETE.



INDEX

IN

SOPHOCLEM.

NOTARUM EXPLICATIO.

A.	Antigone.	F.	Fragmenta incerta.
Aj.	Ajax.	Ph.	Philoctetes.
C.	Œdipus in Colono.	T.	Œdipus Tyrannus.
E.	Electra.	Tr.	Trachiniæ.

A.

K.

Λ.

M.

N.

Π.

Σ.

T.

FINIS.